eul_wid: wus-al

*Σοῦδα* · Suda

# Lexicon, Letter M

## *Σοῦδα, Στοιχεῖον Μ*

**Period:** *Βυζαντινή* Byzantine
**Domain:** *Γραμματική* Grammar
**Format:** *Συναγωγή* Collection

μ 1 Μά: τοῦτο Ὅμηρος ὡς συλλαβῆς τάξιν ἔχον τίθησι. ποτὲ μέντοι ἀντὶ τοῦ μὰ τῷ ναὶ χρῆται· ὡς, ναὶ μὰ τόδε σκῆπτρον· ὅτε ὄμνυσιν. ὅτε δὲ ἀπόμνυσί τι, συζεύγνυσι τὸ τῆς ἀποφάσεως· οἷον, οὐ μὰ γὰρ Ἀπόλλωνα. καὶ ἐν Ὀδυσσείᾳ· οὐ μὰ Ζῆν', Ἀγέλαε. ἡμεῖς δὲ τὸ μὰ ὡς μέρος λόγου ἀπομνύντες παραλαμβάνομεν μὰ τὸν Δία λέγοντες. ἔστι δὲ καὶ ἐπίρρημα ἐπευκτικόν.

μ 2 Μαγγάνα· ὅτι τὸ οἰνηρὸν ἀγγεῖον ἐκ ξύλων κατεσκευασμένον μαγγάναν Ἰταλοὶ ὀνομάζουσιν. ζήτει ἐν τῷ γαῦλος.

μ 3 Μαγγανευτής: ὁ μιγνὺς παντοδαπὰ πρὸς φενακισμόν.

μ 4 Μαγγανεία: ἡ γοητεία. ὁ δὲ νόσῳ περιέπεσεν ἐκ μαγγανείας χαλεπῇ καὶ πολλοὺς ἐπὶ τούτῳ ἁλόντας ἐκόλασε. Προκόπιος· καὶ τὸν ἄνδρα μαγγανείαις κατειλήφει πολλαῖς.

μ 5 Μάγγανον: παράδοξόν τι. λέγεται δὲ καὶ ἡ γοητεία μαγγανεία. ὁ δὲ στρατηγὸς τοὺς θεραπευτὰς τῶν μαγγανευμάτων διηρώτα καὶ ἠξίου ἴχνη πυθέσθαι προρρήσεως παρὰ τῶν μάγων.

μ 6 Μαγάς: σανὶς τετράγωνος ὑπόκυφος, δεχομένη ἐφ' ἑαυτὴν τὰς τῆς κιθάρας νευράς, καὶ ἀποτελοῦσα φθόγγον. ἡ τῆς κιθάρας καβάλη καὶ τῆς λύρας, ἡ τὰς νευρὰς βαστάζουσα. ἔστι δὲ καὶ εἰλητικὸν μόριον.

μ 7 Μαγδαληνή: ἀπὸ τόπου.

μ 8 Μαγιέστερ: διδάσκαλε.

μ 9 Μαγεία: ἐπίκλησίς ἐστι δαιμόνων ἀγαθοποιῶν πρὸς ἀγαθοῦ τινος σύστασιν· ὡς τὰ τοῦ Ἀπολλωνίου τοῦ Τυανέως θεσπίσματα. γοητεία ἐπίκλησίς ἐστι δαιμόνων κακοποιῶν περὶ τοὺς τάφους γινομένη. φαρμακεία δέ, ὅταν διά τινος σκευασίας θανατηφόρου πρὸς φίλτρον, ἢ ἄλλως δοθῇ τισι διὰ στόματος. ἡπατοσκοπία δὲ ἡ τῶν ἐγκάτων ἀνατομή, δι' ὧν προεμήνυον τὰ συμβησόμενα. ἀνατέμνοντες γὰρ σημεῖά τινα ἐθεώρουν ἐν τοῖς ἥπασι. καὶ ζήτει ἐν τῷ γοητεία. ζήτει περὶ μαγείας ἐν τῷ Πέρσαι.

μ 10 Μάγειρος καὶ Μαγειρεῖον. ὁ τὰς μάζας μερίζων.

μ 11 Μαγῆα: τὸν ἀπομάσσοντα. τόν τε μαγῆα σπόγγον ὑπὸ στιβαρᾷ κεκλιμένον κοπίδι.

μ 12 Μὰ γῆν, μὰ παγίδας, μὰ νεφέλας, μὰ δίκτυα: οὕτω καὶ τὰ τυχόντα ὤμνυον, μὰ κρήνας, μὰ ποταμούς. Ἀριστοφάνης Ὄρνισι.

μ 13 Μαγική· ταύτην ἐφεῦρον Μῆδοι καὶ Πέρσαι. ἡ διαφέρουσα τῆς γοητείας καὶ αὐτῆς φαρμακείας.

μ 14 Μαγίς: μάχαιρα. καὶ μάγειρος, ὁ τὰς μάζας μερίζων.

μ 15 Μαγὶς ἄρτου: οἶον μέρος ἄρτου ἢ ψωμὸς ἢ ἐγκρυφίας.

μ 16 Μαγίστερ: διδάσκαλε. προβάλλεται δὲ καὶ Θεόδωρον τῇ μαγιστερίᾳ ἀρχῇ, παρὰ Ῥωμαίοις τιμώμενόν τε καὶ γεραιρόμενον. τῇ μαγιστερίᾳ ἀρχῇ.

μ 17 Μαγιστριανός: ὁ καντρίσιος. Οὐράνιος ὁ καθωσιωμένος μαγιστριανὸς γράμματα ἀποδέδωκε τῷ ἐπισκόπῳ.

μ 18 Μάγκινον: ὄνομα. καὶ τὸν Μάγκινον ἔγνωσαν ἐκδοθῆναι τοῖς Νομάνταις. καὶ Μάγκυψ καὶ Μαγκυπεῖον.

μ 19 Μαγκίπατος: ὁ χειράφετος παρὰ Ῥωμαίοις.

μ 20 Μάγνης, Ἰκαρίου πόλεως, Ἀττικὸς ἢ Ἀθηναῖος, κωμικός. ἐπιβάλλει δ' Ἐπιχάρμῳ νέος πρεσβύτῃ. ἐδίδαξε κωμῳδίας θʹ, νίκας δὲ εἷλε βʹ. οὗτος ἀρχαίας κωμῳδίας ποιητής. ὃς πλεῖστα χωρῶν κατὰ τῶν ἀντιπάλων νίκης ἔστησε τρόπαια· πάσας φωνὰς ἱεὶς καὶ ψάλλων καὶ πτερυγίζων καὶ λυδίζων καὶ ψηνίζων καὶ βαπτόμενος βατραχείοις οὐκ ἐξήρκεσεν, ἀλλὰ τελευτῶν ἐπὶ γήρως, οὐ γὰρ ἐφ' ἥβης, ἐξεβλήθη πρεσβύτης ὤν, ὅτι τοῦ σκώπτειν ἀπελείφθη. σχόλιον· ἱείς, ἀφιείς. ψάλλων δὲ τοὺς Βαρβιτιστὰς ἂν λέγοι. δρᾶμα δέ ἐστι τοῦ Μάγνητος. ἡ δὲ βάρβιτος εἶδος ὀργάνου μουσικοῦ. πτερυγίζων δέ, ὅτι καὶ Ὄρνιθας ἐποίησε δρᾶμα. ἔγραψε δὲ καὶ Λυδοὺς καὶ Ψῆνας καὶ Βατράχους. ἔστι δὲ χρώματος εἶδος τὸ βατράχειον· ἀπὸ τούτου καὶ βατραχὶς ἱμάτιον. ἐχρίοντο δὲ τῷ βατραχείῳ τὰ πρόσωπα πρὶν ἐπινοηθῆναι τὰ προσωπεῖα.

μ 21 Μάγνης, ἀνὴρ Σμυρναῖος, καλὸς τὴν ἰδέαν, εἴ τις καὶ ἄλλος, ποιήσει τε καὶ μουσικῇ δόκιμος· ἤσκητο δὲ καὶ τὸ σῶμα διαπρεπεῖ κόσμῳ, ἁλουργῆ ἀμπεχόμενος καὶ κόμην τρέφων χρυσῷ στρόφῳ κεκορυμβωμένην· περιῄει τε τὰς πόλεις ἐπιδεικνύμενος τὴν ποίησιν. τούτου δὲ καὶ ἄλλοι μὲν πολλοὶ ἤρων, Γύγης δὲ καὶ μᾶλλόν τι ἐφλέγετο καὶ αὐτὸν εἶχε παιδικά. γυναῖκάς γε μὴν πάσας ἐξέμηνεν, ἔνθα ἐγένετο ὁ Μάγνης, μάλιστα δὲ τὰς Μαγνητῶν, καὶ συνῆν αὐταῖς. οἱ δὲ τούτου συγγενεῖς ἀχθόμενοι ἐπὶ τῇ αἰσχύνῃ, πρόφασιν ποιησάμενοι ὅτι ἐν τοῖς ἔπεσιν ᾖσεν ὁ Μάγνης Λυδῶν ἀριστείαν ἐν ἱππομαχίᾳ πρὸς Ἀμαζόνας, αὐτῶν δὲ οὐδὲν ἐμνήσθη, ἐπαΐξαντες περικατέρρηξαν τε τὴν ἐσθῆτα καὶ τὰς κόμας ἐξέκειραν καὶ πᾶσαν λώβην προσέθεσαν. ἐφ' οἷς ἤλγησε μάλιστα Γύγης καὶ πολλάκις μὲν εἰς τὴν Μαγνητῶν γῆν ἐνέβαλε, τέλος δὲ καὶ χειροῦται τὴν πόλιν· ἐπανελθὼν δὲ ἐς Σάρδεις πανηγύρεις ἐποιήσατο μεγαλοπρεπεῖς.

μ 22 Μαγνησία: τόπος.

μ 23 Μαγνῆτις: λίθος τίς ἐστιν οὕτω καλούμενος, ὃς ἔχει φυσικὴν ἐνέργειαν ἕλκειν πρὸς ἑαυτὸν τὸν σίδηρον. ἦν δὲ ἐν Ἀλεξανδρείᾳ τῆς Αἰγύπτου ἐν τῷ Σαραπείῳ πλάνης καὶ κακουργίας τοιοῦτόν τι μηχάνημα· ξόανον κατασκευάσαντες ἐκ χαλκοῦ καὶ ἐν τῇ κεφαλῇ σίδηρον ἔνδοθεν καθηλώσαντες τὸν λίθον τοῦτον ἐν τοῖς φατνώμασιν ἄνωθεν τῆς στέγης ἔπηξαν ἀπὸ διαμέτρου. τὸ δὲ ὑπὸ τῆς φυσικῆς βίας ἑλκόμενον τοῦ λίθου, μετέωρον γὰρ ἐκρέματο, διὰ πολλὴν μηχανὴν καὶ τέχνην ἐκρατεῖτο μέσον ἐδάφους καὶ ὀρόφου, θαυμαζόμενον καὶ μὴ παντελῶς κατασπώμενον.

μ 24 Μαγνητῶν κακά· καὶ οὔτε τί φῶ περὶ αὐτοῦ ἀξίως ἔχω, κἂν τὰ Μαγνητῶν κακά, κἂν τὸ Τερμέριον, κἂν πᾶσαν ἁπλῶς αὐτῶν ἐπιφθέγξωμαι τὴν τραγῳδίαν μετὰ τοῦ σατύρου καὶ τῆς κωμῳδίας καὶ τοῦ μίμου, οὕτω πᾶσα μὲν αἰσχρότης, πᾶσα δὲ ἀπόνοια πρὸς ὑπερβολὴν ἐπ' ἐκείνοις τῷ ἀνδρὶ πεφιλοτέχνηται.

μ 25 Μάγος· μάγους ἐκάλουν τοὺς ψευδεῖς φαντασίας περιτιθέντας ἑαυτοῖς. ἀπὸ τούτου δὲ καὶ τοὺς φαρμακοὺς μάγους ἔλεγον. Σοφοκλῆς· ὑφεὶς μάγον τοιόνδε μηχανορράφον.

μ 26 Μαγώτερα: ἀντὶ τοῦ θελκτικώτερα. ἐν Ἐπιγράμμασι· ἀλλὰ σελίνων οὐλοτέρη καὶ μνοῦ χρῶτα τερεινοτέρη καὶ κεστοῦ φωνεῦσα μαγώτερα.

μ 27 Μαγῶνος.

μ 28 Μάγοι: παρὰ Πέρσαις οἱ φιλόσοφοι καὶ φιλόθεοι· ὧν ἦρχε Ζωροάστρης καὶ μετὰ τοῦτον κατὰ διαδοχὴν Ὀστάναι καὶ Ἀστράμψυχοι.

μ 29 Μαγώγ: ὁ Πέρσης. ὅτι μαγεία καὶ ἀστρολογία ἀπὸ Μαγουσαίων ἤρξατο. οἱ γάρ τοι Πέρσαι Μαγὼγ ὑπὸ τῶν ἐγχωρίων ὀνομάζονται. καὶ Μαγουσαῖοι, οἱ αὐτοί.

μ 30 Μάδδαν: μάζαν, τροφήν. οὕτως οἱ Μεγαρεῖς διὰ δύο δδ.

μ 31 Μὰ Δία: οὐκ ἐπὶ τοῦ μὰ τὸν Δία λέγων, ὡς οἴονταί τινες· ἐχρῶντο δὲ αὐτῷ ἀντὶ τοῦ μὰ Δία, ὥσπερ καὶ τῷ νὴ Δία ἐπὶ τῷ ναί· ὅθεν καὶ ναὶ Δία λέγουσιν καὶ ναὶ μὰ Δία. Ἀριστοφάνης Πλούτῳ· ναὶ μὰ Δία τούτων τε πολλῷ πλείονα. ἐπὶ κατωμοτικοῦ τὸ μὰ Δία, ὅταν αὐτοῦ προτάττηται τὸ ναί.

μ 32 Μαδιάμ: ὄνομα κύριον. καὶ Μαδιανῖτις χώρα. καὶ Μαδιηναῖοι.

μ 33 Μαδῶντα: φαλακρόν, καθόλου τρίχας μὴ ἔχοντα.

μ 34 Μᾶζα: ἄρτος, φύραμα. ἢ ὁ στριφνὸς ἄρτος. ὅστις ἀλφιοσιτεῖ, ὕδατι μεμιγμένην τὴν μᾶζαν ἐσθίει· ὅστις δὲ ἀρτοσιτεῖ, ὕδατι δεδευμένον ἄρτον. οἱ δὲ Μεγαρεῖς μάδδα, διὰ δύο δδ.

μ 35 Μᾶζα: κυρίως ἡ τροφή, ἡ ἀπὸ γάλακτος καὶ σίτου, παρὰ τὸ μάζεσθαι. προπερισπᾶται. ἐπὶ δὲ τοῦ κανθάρου Ἀριστοφάνης καταχρηστικῶς κέχρηται. οὐ γὰρ τὴν ἐξ ἀλφίτων φυραθεῖσαν δηλοῦν θέλει, οὐ γὰρ αὕτη κανθάρων τροφή, ἀλλὰ τὸ ἀποπάτημα, τουτέστι τὴν κόπρον. πίτυρα δέ τινα ἔματτον οἱ οἰκέται· κόπρον γὰρ φυρᾶν ἄπιστον. αἶρ’, αἶρε μᾶζαν ὡς τάχιστα κανθάρῳ. καὶ παροιμία ἐπὶ τῶν ἀλλοτρίοις πόνοις ἐγκαυχωμένων· μᾶζαν μεμαχὼς τὴν ὑπ’ ἐμοῦ μεμαγμένην. καὶ πρῴην γ’ ἐμοῦ μᾶζαν μεμαχότος Λακωνικήν, πανουργοτάτως παραδραμών, ὑφαρπάσας αὐτὴν παρέθηκε τὴν ὑπ’ ἐμοῦ μεμαγμένην καὶ ἐν ἑτοίμῳ γενομένην. τοῦτο δὲ ἀπὸ ἱστορίας εἴληφεν, ἧς μέμνηται Θουκυδίδης.

μ 36 Μάζης ὤνιον: ἄρτου πρᾶσις.

μ 37 Μαζίσκας διαμεμιγμένας: ἀντὶ τοῦ πεφυραμένας.

μ 38 Μαζονομεῖον: ἀγγεῖόν τι.

μ 39 Μαζός: κυρίως ἐπὶ ἀνδρός. καὶ Ὅμηρος· νευρὴν μὲν μαζῷ πέλασεν, τόξῳ δὲ σίδηρον. καταχρηστικῶς δὲ καὶ ἐπὶ γυναικός.

μ 40 Μαζουρώθ: τὰ συστήματα τῶν ἀστέρων, ἃ ἐν τῇ συνηθείᾳ ζῴδια καλοῦνται. Ἑβραϊστὶ δὲ τινές φασι λέγεσθαι τὴν λέξιν, σημαίνειν δὲ καὶ τὸν ἀστρῷον κύνα.

μ 41 Μαζῶντες: τρυφῶντες.

μ 42 Μάθημα: ἐπιτήδευμα, ἀσχόλημα, δίαιτα, διαγωγή, πρόφασις, ἀφ’ ἧς μέλλομεν περὶ τὰ πράγματα διατρίβειν. μεταμαθεῖν δέ ἐστιν τὸ παύσασθαι. κυρίως δὲ μεταμαθεῖν ἔλεγον τὸ μετὰ ταῦτα ἕτερόν τι μαθεῖν, ἀφέμενον τοῦ πρώτου. Ἀριστοφάνης Πλούτῳ· οὐδ’ ἂν μεταμάθοις;

μ 43 Μαθητεία: ἡ μάθησις.

μ 44 Μαθητιῶ: μαθεῖν ἐπιθυμῶ. Ἀριστοφάνης Νεφέλαις· μαθητιῶ γάρ. ἀλλ’ ἄνοιγε τὴν θύραν. καὶ Μαθηταῖσι, τοῖς μαθηταῖς.

μ 45 Μαθών: ἰδών. ὁ δὲ Κελτὸς μαθὼν ἐγέλασε καὶ κατέσκωπτεν, ὡς ἀνὴρ παιδὶ μέλλων διαγωνιεῖσθαι. καὶ αὖθις· ὡς ἔμαθε κἀκεῖνον ἀνιστάμενον. ἀντὶ τοῦ εἶδε. καὶ Ἀριστοφάνης· μάθοι γὰρ ἄν τις κἀπὸ τῶν ἐχθρῶν σοφόν.

μ 46 Μαΐωρ, Ἀράβιος, σοφιστής. ἔγραψε Περὶ στάσεων βιβλία ιγ′. συνεχρόνισε δὲ Ἀψίνῃ καὶ Νικαγόρᾳ, ἐπὶ Φιλίππου τοῦ Καίσαρος καὶ ἐπάνω.

μ 47

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Μαϊουμᾶς· πανήγυρις ἤγετο ἐν τῇ Ῥώμῃ κατὰ τὸν Μάϊον μῆνα. τὴν παράλιον καταλαμβάνοντες πόλιν, τὴν λεγομένην Ὀστίαν, οἱ τὰ πρῶτα τῆς Ῥώμης τελοῦντες ἡδυπαθεῖν ἠνείχοντο, ἐν τοῖς θαλαττίοις ὕδασιν ἀλλήλους ἐμβάλλοντες. ὅθεν καὶ Μαϊουμᾶς ὁ τῆς τοιαύτης ἑορτῆς καιρὸς ὠνομάζετο. ἐτέλουν δὲ μέχρις Ἀναστασίου βασιλέως οἱ ἐν Κωνσταντίνου πόλει πανήγυριν τῶν Βρυτῶν· καὶ ταύτην Ἀναστάσιος ἔπαυσε. καὶ τὴν τῶν κυνῶν δὲ ἐτέλουν πανήγυριν οἱ Ῥωμαῖοι κατὰ τὸν Αὔγουστον μῆνα, ἀναιροῦντες αὐτοὺς ἐκ τῆς ἁλώσεως τῆς ὑπὸ Γάλλων, διότι ἀνύλακτοι ἔμειναν, τῶν χηνῶν ἐκβοησάντων.

μ 48 Μαΐστωρος: τοῦ διδασκάλου.

μ 49 Μακκαβαῖοι· ζήτει ἐν τῷ Ἀντίοχος.

μ 50 Μακαρία τῶν βίων, καὶ μακάριε τῶν τρόπων.

μ 51 Μακαρία: ὁ ὄλεθρος. θυγάτηρ τοῦ ᾅδου. καὶ παροιμία· βάλλ’ ἐς μακαρίαν, ἀντὶ τοῦ εἰς δειλαιότητα καὶ πανωλεθρίαν. ἢ βάλλ’ ἐς μακαρίαν, κατ’ εὐφημισμόν. ἐπεὶ καὶ οἱ τεθνεῶτες μακαρῖται λέγονται. καὶ Ἡρακλέους θυγάτηρ, ἣν Ἀθηναῖοι ὑπὲρ αὐτῶν ἀποθανοῦσαν πολυτελῶς ἔθαψαν. ζήτει ἐν τῷ βάλλ’ ἐς μακαρίαν.

μ 52 Μακαρίαινος: ὄνομα κύριον.

μ 53 Μάκαρι σὺν τύχᾳ: ἀντὶ τοῦ μακαρίᾳ. Ἀριστοφάνης· περιπέτεσθε τὸν μάκαρα, μάκαρι σὺν τύχᾳ. καὶ αὖθις Ἀριστοφάνης· ὦ μακάρι’ Αὐτόμενες, ὥς σε μακαρίζομεν, παῖδας ἐφύτευσας ὅτι χειροτεχνικωτάτους.

μ 54 Μακαρίζω· γενικῇ, διὰ τὸ ἕνεκα. αἳ καὶ τοῦ τέλους ἐμακαρίσθησαν, ὡς ἐκείνῳ συνέκδημοι. διόλου δὲ αἰτιατικῇ.

μ 55 Μακάριος: ὁ ἐν ἀγαθοῖς πάντοτε ὤν. λέγεται δὲ καὶ ὁ θεὸς μακάριος καὶ πιστὸς καὶ μόνος δυνάστης. μετέδωκε δὲ ὁ μεγαλόδωρος τοῦ ὀνόματος τοῖς εὐσεβῶς ζῶσιν· ὥσπερ καὶ τοῦ θεός· ἐγὼ εἶπα, θεοὶ ἐστέ. καὶ ἄλλα πλεῖστα ὀνόματα τοιαῦτά εἰσι.

μ 56 Μακάριος· δύο ἐγένοντο Μακάριοι ὁμώνυμοι καὶ περιβόητοι δι’ ἄσκησιν, διὰ βίον, διὰ τρόπον, διὰ τὰ μαθήματα. ὁ μὲν Αἰγύπτιος θαυματουργὸς ἦν καὶ μετὰ τοῦ εὐλαβοῦς πρὸς τοὺς ἐντυγχάνοντας αὐστηρός, ὁ δὲ Ἀλεξανδρεὺς κατὰ πάντα ὢν παραπλήσιος τῷ Αἰγυπτίῳ πρὸς τοὺς ἐντυγχάνοντας ἦν ἱλαρὸς καὶ τῷ χαριεντίζεσθαι τοὺς νέους ἦγε πρὸς ἄσκησιν. τούτων Εὐάγριος γενόμενος μαθητὴς τὴν δι’ ἔργων φιλοσοφίαν ἐκτήσατο, πρότερον λόγῳ μόνῳ φιλόσοφος ὤν· ὃς ἐν Κωνσταντινουπόλει ὑπὸ Γρηγορίου τοῦ θεολόγου εἰς τὴν τοῦ διακόνου προεχειρίσθη τάξιν· ἀλλὰ καὶ ἐς τὴν Αἴγυπτον κατελθὼν καὶ τοῖς προλεχθεῖσιν ἐντυχὼν ἀνδράσι τὸν ἐκείνων βίον ἐζήλωσε. τούτῳ καὶ βιβλία ἄγαν σπουδαῖα συγγέγραπται· ὧν τὸ μὲν Μοναχὸς ἢ περὶ πρακτικῆς ἐπιγέγραπται, τὸ δὲ Γνωστικὸς ἢ περὶ τῶν καταξιωθέντων γνώσεως· κεφάλαια δὲ αὐτοῦ ν′· τὸ δὲ Ἀντιρρητικὸν πρὸς τοὺς πειράζοντας δαίμονας ἐν η′ διῃρημένον μέρεσι, κατὰ τὸν ἀριθμὸν τῶν η′ λογισμῶν· καὶ χ′ Προγνωστικὰ προβλήματα· καὶ Στιχηρὰ δύο, ἓν πρὸς τοὺς ἐν κοινοβίοις ἢ συνοδίαις μοναχοὺς καὶ ἓν πρὸς τὴν παρθένον. καί φησι κατὰ λέξιν οὕτως· ἀναγκαῖον τὰς ὁδοὺς τῶν προοδευσάντων μοναχῶν ὀρθῶς διερωτᾶν καὶ πρὸς αὐτὰς κατορθοῦσθαι· πολλὰ γάρ ἐστιν ὑπ’ αὐτῶν ῥηθέντα τε καὶ πραχθέντα καλῶς· ἐν οἷς καὶ τοῦτό τις ἔφησεν, ὅτι τὴν ξηροτέραν καὶ ἀνώμαλον δίαιταν, ἀγάπῃ συζευχθεῖσαν, θᾶττον διάγειν τὸν μοναχὸν εἰς ἀπάθειαν.

μ 57 Μακαρίτας: τοὺς τεθνεῶτας εὐφήμως, ὡς μακαρίων ὄντων τῶν τελευτησάντων, ὅτι οὐκέτι αἰσθάνονταί τινος δεινοῦ. Δωριέων τινὲς αὐτοὺς ζαμερίτας καλοῦσιν, οἷον τῆς μείζονος μερίδος ἤδη κεκοινωνηκότας. τὸ γὰρ ζὰ ἐπὶ τοῦ μεγάλου τίθεται. Ἀριστοφάνης Πλούτῳ· ὡς

μακαρίτην, ὦ Δάματερ, τὸν βίον αὐτοῦ κατέλεξας, εἰ φεισάμενος καὶ μοχθήσας καταλείψει μηδὲ ταφῆναι. κατεχρήσατο ἀντὶ τοῦ μακάριον· εἰ μὴ ἄρα παίζει, οἷον νεκροῦ βίον.

μ 58 Μακάρων νήσοισιν: ἡ ἀκρόπολις τῶν ἐν Βοιωτίᾳ Θηβῶν τὸ παλαιόν, ὡς Παρμενίδης.

μ 59 Μάκαιραν: μακαρίαν.

μ 60 Μακεδνῆς: ἴσως μηκεδανῆς· ἢ κατ' ἐπίτασιν, λίαν κεδνῆς.

μ 61 Μακεδόνειος πόλις: τῶν Μακεδόνων. Μακεδονία δὲ χώρα.

μ 62 Μακεδονική. ζήτει περὶ ἀρχῆς Μακεδονικῆς ἐν τῷ Ἀσσύριοι.

μ 63 Μακεδόνιος· οὗτος πλεῖστα ὅσα κακὰ κατὰ Χριστιανῶν ἐνεδείξατο καὶ τὸν κολοφῶνα τῶν κακῶν, οἷς ἔδρασεν, ἐπιτίθησι· πυθόμενος γὰρ κατὰ τὸ Παφλαγόνων ἔθνος πλείστους εἶναι τῆς Ναυατικῆς θρησκείας, καὶ μάλιστα κατὰ τὸ Μαντίνιον, συνιδών τε ὡς οὐχ οἷόν τε τοσοῦτον πλῆθος δι' ἐκκλησιαστικῶν ἀνθρώπων ἐλαύνεσθαι, τετραρίθμους στρατιώτας γνώμῃ τοῦ βασιλέως ἐπὶ τὴν Παφλαγονίαν πεμφθῆναι πεποίηκεν, ὅπως φόβῳ τῶν πλείστων τὴν Ἀρειανικὴν δόξαν προσδέξωνται. οἱ δὲ ἐκεῖσε ζήλῳ τῆς θρησκείας ἀπονοίᾳ κατὰ τῶν στρατιωτῶν ἐχρήσαντο· καὶ συμβολῆς γενομένης τῶν μὲν Παφλαγόνων συχνοὶ πίπτουσι, τῶν δὲ στρατιωτῶν πλὴν ὀλίγων πάντες. διὰ τοῦτο προσέκρουσε τῷ βασιλεῖ, ἄλλως τε καὶ ὅτι μετέθηκε τὰ λείψανα τοῦ μεγάλου Κωνσταντίνου· οἱ γὰρ λαοὶ διεκώλυον τοῦτο, ἀνόσιον εἶναι λέγοντες· καὶ συμβαλόντες μάχῃ πολλοὶ ὅσοι πίπτουσιν. ὕστερον δὲ καὶ καθῃρέθη ὁ Μακεδόνιος.

μ 64 Μακεδόνιος ἄλλος, ὃς ἐπὶ Ἰουλιανοῦ τοῦ Παραβάτου ἐμαρτύρησε. καὶ ζήτει ἐν τῷ Ἀμάχιος.

μ 65 Μακεδών, Μακεδόνος.

μ 66 Μακέτις: θηλυκόν.

μ 67 Μάκελλα: δίκελλα. Ἀριστοφάνης· ὦ μῶρε, μῶρε, μὴ θεῶν κίνει φρένας δειλάς, ὅπως μή σου γένος πανώλεθρον Διὸς μακέλλῃ πᾶν ἀναστρέψῃ δίκη. ἐπὶ τῶν βλασφήμων εἴρηται.

μ 68 Μακκοᾷ: ἀνοηταίνει, ἐνεόν ἐστιν. ἔφαμεν δέ, ὅτι ἡ Μακκὼ ἐνεὰ ἦν. Ἀριστοφάνης· τὸ τοῦ δήμου πρόσωπον μακκοᾷ καθήμενον. καὶ Μεμακκοακότα, ἀντὶ τοῦ ἀνοηταίνοντα.

μ 69 Μακκὼ καὶ Λαιμώ: γυναῖκες, αἳ ἐγένοντο ἐνεαί, τουτέστι βαρέως νοοῦσαι.

μ 70 Μακρὰ γραμμή: ἡ καταδικάζουσα· ὁ δ' ἀπολύων βραχεῖαν ἐσημειοῦτο.

μ 71 Μακρὰν οὐσίαν: οὕτω λέγουσι τὴν πολλὴν Ἀττικοί.

μ 72 Μακρὰ χαίρειν: οἰμώζειν, στενάζειν.

μ 73 Μακραίωνας: μακροβίους. Σοφοκλῆς· οὔτοι βίου μοι τοῦ μακραίωνος πόθος, φέροντι τήνδε βάξιν. ἀντὶ τοῦ οὐ βούλομαι ζῆν ἐπὶ ταύτῃ τῇ φήμῃ.

μ 74 Μακραίωνι σχολῇ: πολυχρονίῳ, βραδεῖ ἀγῶνι. Σοφοκλῆς.

μ 75 Μακρέτειος: ὁ πολυχρόνιος.

μ 76 Μακρόβιοι· ζήτει ἐν τῷ Βραχμᾶνες.

μ 77 Μακροκέφαλοι: ἔθνος ἐστὶν οὕτω καλούμενον. Παλαίφατος δέ φησιν ἐν ζ' τῶν Τρωϊκῶν ἐν τῇ Λιβύῃ ὑπεράνω Κόλχων οἰκεῖν τοὺς Μακροκεφάλους.

μ 78 Μακρὸν ποιῶ: ἀντὶ τοῦ μηκύνω. οὕτως Φιλιππίδης.

μ 79 Μακρὸν τεῖχος ἐκεῖθεν τῆς Σηλυβρίας. καὶ ζήτει ἐν τῷ τεῖχος.

μ 80 Μακροπόνηρος.

μ 81

Μακρούς· σοῦ δ’ ἐγὼ λόγους λέγοντος οὐκ ἀκούσομαι μακρούς. οὐ λέγει, ὅτι τοὺς μακροὺς οὐ προήσομαι, ἀκούσομαι δὲ τοὺς διὰ συντομίας λεγομένους· ἀλλ’ ὅτι πάντες λόγοι μακροὶ πεφύκασι κρινόμενοι πρὸς πρᾶξιν, εἰ πέπρακται.

μ 82 Μακροχρονῶ.

μ 83 Μακρῷ: ἀντὶ τοῦ πολύ. Εὐνάπιος· Καρῖνος ὁ βασιλεύς, γενόμενος ἐν ἐξουσίᾳ καὶ βουλήσεως κύριος ἀνέδραμε τηλικοῦτον κακὸν ἐς τυραννίδα, ὥστε ἀπέδειξε χρυσὸν τὴν τραγῳδουμένην τυραννίδα. οὕτω καὶ τοὔνομα τοῖς ἔργοις μακρῷ παρῆλθε. καὶ αὖθις· τούτων ἁπάντων ἦν ὑβριστότατος μακρῷ.

μ 84 Μακρῷ: ἀντὶ τοῦ κατὰ πολύ. Ἡρόδοτος· ἄριστος ἐγένετο μακρῷ Ἀριστόδημος κατὰ γνώμας τὰς ἐμάς. καὶ αὖθις· μακρῷ διέστηκε.

μ 85 Μάκρωνος: ἐθνικόν.

μ 86 Μάκτρα: θυεία ἐπιμήκης, ἐν ᾗ μάττουσι τὰ ἄλευρα. Ἀριστοφάνης Πλούτῳ· ἀντὶ δὲ μάκτρας πιθάκνης πλευρὰν ἐρρωγυῖαν.

μ 87 Μάλα εἰκότως: πάνυ δικαίως.

μ 88 Μαλακεινός: ὄνομα κύριον.

μ 89 Μαλακία: ῥαθυμία. νόσος. καὶ μάλιστα διὰ τὰς μαλακίας τῶν Κελτῶν καὶ φυγοπονίας ὥρισε τὸν ἀδελφὸν οὐραγεῖν.

μ 90 Μαλακίζεσθαι: ἐν ταῖς νόσοις φασὶν Ἀττικοὶ τὰς γυναῖκας μαλακίζεσθαι, τοὺς δὲ ἄνδρας ἀσθενεῖν.

μ 91 Μαλακία: ἡ ἐπὶ τῆς σαρκὸς ἀσέλγεια.

μ 92 Μαλακίων: ὁ μαλακός.

μ 93 Μαλακόν: ἁπαλόν, ἢ καὶ ἀσελγές. ὁ δὲ οὐ πάνυ δεξιῶς ὑπεξῆλθεν ἀθυμίᾳ καὶ πληγῶν πλειόνων γενομένων, διὰ τὸ μαλακῶς τὸν τράχηλον παρασχεῖν.

μ 94 Μαλακός· ὅτι πάντων φρονιμώτερον ζῷον ὁ ἄνθρωπος καὶ τὴν γεῦσιν, ἁφὴν οὖσαν, ἀκριβεστέραν ἔχει, διότι μαλακώτερος καὶ τὴν ἁφὴν αἰσθητικώτερος· θᾶττον γὰρ διαφορεῖται τὰ περιττώματα, καὶ οὐκ ἐπιθολοῦται αὐτοῦ τὸ φανταστικὸν καὶ λογιστικόν. ἐπιστῆσαι δὲ χρή, μήποτε ὡς ὑλικὸν αἴτιον αἰτιᾶται τὴν σάρκα· οὐ γὰρ ποιητική ἐστι φρονήσεως, ὡς συναίτιον. διὰ γὰρ τὸν σύνδεσμον συνδιατίθεται τὰ ψυχικὰ κινήματα ταῖς τοῦ σώματος κράσεσιν, οὐ γεννώμενα ὑπὸ τῆς κράσεως, ἀλλ’ οὐκ ἄνευ τῆς τοιᾶσδε κράσεως τοιῶσδε ἢ τοιῶσδε ἐνεργοῦντα. εἰ δέ τινα εἴη ἄλλα τοῦ ἀνθρώπου μαλακωτέραν ἔχοντα σάρκα, οἱ σκώληκες, τοῖς ἄλλοις δηλονότι ἐλλείπουσιν· οὐ γὰρ ἔχουσι τέλειον τὸ φανταστικόν· ἀλλὰ νῦν περὶ τῶν τελείων ζῴων ὁ λόγος. τάχα δὲ οὐδὲ σὰρξ ἡ τῶν σκωλήκων, ὡς οὐδὲ τῶν μυιῶν. ὅτι δὲ τῷ μαλακωτέραν ἔχειν τὴν σάρκα ὁ ἄνθρωπος φρονιμώτερος, σημεῖόν ἐστι τὸ τοὺς μαλακωτέρους τῶν ἀνθρώπων φρονιμωτέρους καὶ εὐφυεστέρους εἶναι, τῶν ἄλλων ἁπάντων διαθέσεων καὶ φυσικῶν ἰδιωμάτων ὁμοίως ἐχόντων. διὸ καὶ τοὺς ἀνοήτους παχυδέρμους καλοῦμεν.

μ 95 Μαλακόστρακοι: ἰχθύες, ὅσα ἐκδύεται· οἷον ἀστακοί, καρίδες, πάγουροι, καρκίνοι. ταῦτα δὲ μόνα ἐκδύονται.

μ 96 Μαλάσσου: ἀντὶ τοῦ μεταβάλλου.

μ 97 Μαλάσσω· αἰτιατικῇ.

μ 98 Μαλάχια: ὅσα τῶν ἐνύδρων ὀστέα οὐκ ἔχει· οἷον σηπία, πολύπους. ταῦτα δὲ καὶ ἄναιμά ἐστι καὶ ἄσπλαγχνα. τινὲς δὲ μαλάχεια διὰ διφθόγγου γράφουσι.

μ 99 Μαλαχίας: ὄνομα κύριον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μ 100 Μαλέας. καὶ ἡ αἰτιατικὴ τὸν Μαλέαν. ἀκρωτήριον καὶ ὄρος.

μ 101 Μάλεος: ὄνομα κύριον. Φαιστός, πόλις Κρήτης. Ὅμηρος· ἐς Φαιστόν· μικρὸς δὲ λίθος μέγα κῦμ’ ἀποέργει. Μάλεος γάρ τις τελέσας τὸν λίθον τοῦτον ἀνιέρωσε τῷ Ποσειδῶνι, πρὸς τὸ μὴ τὰ κύματα προσπελάζειν τῇ Φαιστῷ.

μ 102 Μαλερόν: λαμπρόν, σποδόεν, ἰσχυρόν, ὀξύ, ἀσθενές, ξηρόν, δριμύ. τὸ δὲ μαλερὸν πῦρ, τὸ ὀξύ, ἢ μαραντικόν, σφοδρόν. καὶ μαλερὰς φρένας, τὰς ἀσθενεῖς καὶ ξηράς. ῥιπίδα τὰν μαλερὸν θάλπος ἀμυνομέναν.

μ 103 Μάλειον ὄρος· Μαλειάων ὄρος αἰπύ· Ὅμηρος.

μ 104 Μαλιασμός: νόσος περὶ τοὺς ὄνους γινομένη, ὅς ἐστι κατάρρους διὰ μυκτήρων καὶ στρόφος περὶ τοὺς αὐτούς. οὐκ ἐκφεύγει δὲ οὐδέτερον τῶν νοσημάτων ὁ ὄνος.

μ 105 Μάλλιος: ὄνομα κύριον. ὅτι Μάλλιος ὁ ὕπατος τὸν ἑαυτοῦ παῖδα μονομαχήσαντα Ποντίῳ τῷ Λατίνῳ καὶ καταβαλόντα τὸν ἀντίπαλον, ὡς μὲν ἀριστέα ἐστεφάνωσεν, ὡς δὲ ὑπερβάντα τὰ ἐξ αὐτοῦ τεταγμένα ἐπελέκισεν· ὃ δὴ σὺν ὠμότητι πραχθὲν εὐπειθεστάτους τοῖς ἄρχουσι Ῥωμαίους κατέστησεν. ζήτει ἐν τῷ δικτάτωρ.

μ 106 Μάλιστα: ἀντὶ τοῦ ἀκριβῶς ὁ Θουκυδίδης λαμβάνει.

μ 107 Μαλθακόν: ἔκλυτον, μαλακόν. ὁ δ’ αὐτὸν ἐξάγαγε βιότου μαλθακίῃ σοφίης. καὶ παροιμία· ἁπαλοὶ θερμολουσίαις, ἁβροὶ μαλθακευνίαις· ἐπὶ τῶν ὑπὸ τρυφῆς καὶ ἁβρότητος διαρρεόντων.

μ 108 Μαλθακώτερον: πρὸς τὸ ἡδύτερον τοῦ βίου, καὶ εὖ ἔχον. Ἀριστοφάνης Βατράχοις· τὸ δὲ μεταστρέφεσθ’ ἀεὶ πρὸς τὸ μαλθακώτερον, δεξιοῦ πρὸς ἀνδρός ἐστι καὶ φύσει Θηραμένους.

μ 109 Μαλθάξαι: ἀγαθῦναι, καταπραῢναι. τοὺς μὲν δώροις μαλθασσομένους καὶ ἐς τὰς κλήσεις συνιέναι. καὶ αὖθις· τὸ γὰρ δυνάμενον ἐκεῖνον τὸν ἄνδρα μαλθάξαι ἓν μόνον ἦν, ἡ τῶν τρόπων ἐπιείκεια καὶ ὁ τοῦ δικαίου κατὰ φύσιν ἔρως. καὶ Ἀριστοφάνης· νάρκη μου κατὰ τῆς χειρὸς καταχεῖται, καὶ τὸ ξίφος οὐ δύναμαι κατέχειν, ἀλλ’ ἤδη μαλθακός εἰμι.

μ 110 Μάλθη: ὁ μεμαλαγμένος κηρός.

μ 111 Μάλθων· ὁ γύνανδρός τε καὶ μάλθων τύραννος. ἀντὶ τοῦ ἔκλυτος.

μ 112 Μαλκίομεν· Δημοσθένης θʹ Φιλιππικῶν φησι.

μ 113 Μάλκιον: ἀσθενές, ψυχρότατον. ὁ δὲ Μιθριδάτης πιὼν φάρμακον ἀσθενές τε καὶ μάλκιον βραδέως τὴν ἰσχὺν ἀπεδείκνυτο.

μ 114 Μαλκίστατον: ψυχρότατον. τὸ δέ μοι μαλκίστατον ἦμαρ.

μ 115 Μᾶλλον μᾶλλον: ἀντὶ τοῦ ἀεὶ καὶ μᾶλλον· Ἄλεξις Ἀτθίδι· πῶς ἐπινεφεῖ τὸ πρῶτον ὁ Ζεὺς ἡσυχῇ, ἔπειτα μᾶλλον μᾶλλον. Ἀναξίλας Ὥραις, Ἄλεξις Πεζονίκῃ. τοῦτο τὸ μᾶλλον λέγεται θετικῶς, οἷον οὐδὲν μᾶλλον ὁ πειρατὴς κακός ἐστιν ἢ ὁ ψεύστης. ὑπὸ δὲ τῶν Σκεπτικῶν οὐ θετικῶς, ἀλλ’ ἀναιρετικῶς λέγεται· ὡς ὑπὸ τοῦ ἀνασκευάζοντος καὶ λέγοντος, οὐ μᾶλλον ἢ Σκύλλα γέγονεν ἢ Χίμαιρα. καί ποτε μὲν συγκριτικῶς ἐκφέρεται, ὡς ὅταν φῶμεν, μᾶλλον τὸ μέλι γλυκὺ ἢ τὴν σταφίδα· ποτὲ δὲ θετικῶς καὶ ἀναιρετικῶς, ὡς ὅταν λέγωμεν, μᾶλλον ἡ ἀρετὴ ὠφελεῖ ἢ βλάπτει. σημαίνομεν γάρ, ὅτι ἡ ἀρετὴ ὠφελεῖ, βλάπτει δ’ οὔ.

μ 116 Μᾶλλον ὁ Φρύξ: ἡ παροιμία ἐνθένδε· οἱ ζʹ σοφοὶ ἐρωτώμενοι ὑπὸ Κροίσου, τίς τῶν ὄντων εὐδαιμονέστατος, οἱ μὲν ἀπεκρίναντο τὰ ἄγρια ζῷα· ὑπὲρ γὰρ τῆς αὐτονομίας ἀποθνήσκει· οἱ δὲ πελαργούς· δίχα γὰρ νόμου τῇ φύσει τὸ δίκαιον ἔχουσι· Σόλων δέ, οὐδένα πρὸ τῆς τελευταίας ἡμέρας. παρεστὼς δὲ Αἴσωπος ὁ Φρύξ, ὁ λογοποιός, τοσοῦτον, εἶπεν, ὑπερέχεις τῶν ἄλλων, ὅσον θάλασσα ποταμῶν. ἀκούσας δὲ Κροῖσος εἶπε, μᾶλλον ὁ Φρύξ.

μ 117 Μαλῷα· καί τινα διὰ χειρὸς ἔχουσι μαλῷα καὶ καθαίρουσι.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μ 118 Μάλλωνος: ὄνομα ἐθνικόν.

μ 119 Μαλλώτης, Διονυσιάδης, Φυλαρχίδου, τραγικός.

μ 120 Μάλχος, Βυζάντιος, σοφιστής. ἔγραψεν ἱστορίαν ἀπὸ τῆς βασιλείας Κωνσταντίνου καὶ ἕως Ἀναστασίου· ἐν ᾗ τὰ κατὰ Ζήνωνα καὶ Βασιλίσκον καὶ τὸν ἐμπρησμὸν τῆς δημοσίας βιβλιοθήκης καὶ τῶν ἀγαλμάτων τοῦ Αὐγουσταίου καὶ ἄλλα τινὰ διεξέρχεται μάλα σεμνῶς καὶ τραγῳδίας δίκην ἀποθρηνῶν αὐτά.

μ 121 Μαμμάκυθος: ὄνομα κύριον. Ἀριστοφάνης· τέως δ’ ἀβελτερώτατοι κεχηνότες Μαμμάκυθοι, Μελιτίδαι κάθηνται.

μ 122 Μάμας· ὅτι ἐν τῷ ἁγίῳ Μάμαντι γέφυρα ἦν μεγάλη, ιβʹ καμάρας ἔχουσα· ὕδατα γὰρ κατήρχοντο πολλά. ἔνθα καὶ δράκων ἵστατο χαλκοῦς, διὰ τὸ δοκεῖν δράκοντα οἰκεῖν ἐκεῖσε· ἔνθα καὶ πολλαὶ παρθένοι ἐτύθησαν. Βασιλίσκος γάρ τις ἐρασθεὶς τοῦ τόπου, ὃς ἦν Νουμεριανοῦ Καίσαρος, ἐκεῖσε κατῴκησε καὶ ναὸν ἤγειρεν· ἅπερ Ζήνων κατέλυσεν. καὶ ἐπὶ κλητικῆς ὦ Μάμαν.

μ 123 Μαμαίας, Ἀλέξανδρος, βασιλεὺς Ῥωμαίων.

μ 124 Μαμερτῖνος: ὄνομα κύριον.

μ 125 Μὰ μήκωνος χλόην· ναὶ ναὶ μὰ μήκωνος χλόην.

μ 126 Μαμμίαν: Ἀττικοὶ τὴν μητέρα. ἀπὸ τοῦ τὰ παιδία μαμμᾶν τὸ φαγεῖν λέγειν.

μ 127 Μαμιανός, πατρίκιος. ζήτει ἐν τῷ Πρίσκος.

μ 128 Μαμωνᾶς: χρυσός, γήϊνος πλοῦτος. οὐχὶ ὁ ἐκ τοῦ Σατᾶν, ἀλλ’ ὁ περιττὸς καὶ ὑπὲρ τὴν χρείαν.

μ 129 Μάννα: θυσία, σπονδή. καὶ ἡ ἄνωθεν πίπτουσα τροφή. σημαίνει δὲ τί τοῦτο· ὃ ἑσπέρᾳ τοῦ σαββάτου μόνον ἐκρύπτετο. καὶ Χριστός, ὁ γλυκασμὸς τῆς ζωῆς, τῇ παρασκευῇ τῷ τάφῳ καλύπτεται.

μ 130 Μάννα: ἡ ἄνωθεν χορηγουμένη τροφή. τουτέστι τί τοῦτο. ὃ καὶ ἄρτος ἀγγέλων λέγεται, ὡς ὑπ’ ἀγγέλου χορηγούμενος. ὅτι παρὰ πολλοῖς λέγεται τὸ μάννα ἀμβλίσιον.

μ 131 Μαναΐμ, στρατηγός, ὁ νικήσας τοὺς Σκύθας· οὗ ἡ στήλη ἵστατο ἐν τῷ καλουμένῳ Ὠρείῳ, ὅ ἐστι μόδιος. ἦν γὰρ ὡρεῖον, ἔνθα νῦν ἵστανται κίονες πρὸ τοῦ οἴκου τοῦ Κρατεροῦ· ἔνθα ἵστατο καὶ μόδιος χαλκοῦς, πλησίον τῶν χειρῶν. ἦν δὲ δίκαιον μέτρον, ὡς ἂν τῷ χωρήματι αὐτοῦ πωλῶσι πάντες οἱ σιτοπράται καὶ ἀγοράζωσιν οἱ σιτῶναι, καὶ τῷ ἴσῳ μέτρῳ δίδοται σιτηρέσιον. τοῦτο δὲ ἐνομοθέτησεν Οὐαλεντινιανός, πιπράσκεσθαι τὸν σῖτον μοδίους ιβʹ τῷ νομίσματι, μηδενὸς ἀντιλέγοντος. ὅθεν τις ναύτης τοῦτο μὴ ποιήσας τὴν δεξιὰν χεῖρα ἀφῃρέθη. ὅθεν ἐτυπώθησαν αἱ χαλκαῖ χεῖρες τοῖς λαμβάνουσι καὶ τοῖς διδοῦσιν, ἀμφοτέρους ἐκ τῶν τεταγμένων μὴ ἀγανακτεῖν. ἦν δὲ καὶ Οὐαλεντινιανοῦ τοῦ βασιλέως στήλη ἔξαμμον ἔχουσα ἐν τῇ δεξιᾷ χειρί, ἁρπαγῆναι εἰς πάκτον, διὰ τὸ καὶ αὐτὴν ὑπάρχειν ἀργυρᾶν μικράν, ὑπὸ Κουρίου πρωτίκτωρος, τῷ δευτέρῳ ἔτει Ἰουστινιανοῦ.

μ 132 Μανάϊνος: ὄνομα κύριον.

μ 133 Μανασσῆς, βασιλεὺς Ἱερουσαλήμ, υἱὸς Ἐζεκίου, βασιλεύσας ἔτη νεʹ Ἰουδαίας· ὃς ἐγένετο μιαρώτατος καὶ ἀσεβέστατος καὶ παρανομώτατος ὑπὲρ πάντας ἀνθρώπους ἐπὶ εἰδωλομανίᾳ καὶ αἱματεκχυσίᾳ· καὶ τὸν μέγαν Ἡσαΐαν πρίσας καὶ τὴν Ἱερουσαλὴμ αἱμάτων ἀθῴων πληρώσας οὐχ ἧττον εἰδωλολάτρησε τῶν Ἀμορραίων καὶ μέντοι καὶ τὸν οἶκον κυρίου καταμολύνας καὶ τετραπρόσωπον εἴδωλον τοῦ Διὸς ἐν αὐτῷ στήσας οὐ διέλειπεν οἰωνιζόμενος καὶ φαρμακεύων καὶ αἰσχρουργῶν καὶ μοιχώμενος καὶ πᾶν εἶδος κακίας μεθ’ ὑπερβολῆς διαπραττόμενος. διὸ καὶ κατὰ θείαν ὀργὴν συλληφθεὶς ὑπὸ Μαροδὰχ βασιλέως Ἀσσυρίων δέσμιος εἰς Νινευὴ τὴν πόλιν αἰχμάλωτος ἀπήχθη, καὶ ἐς τὸ χαλκοῦν ἄγαλμα καθείρχθη. συνιεὶς δὲ ἐπὶ τοῖς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πλημμελήμασιν ἀξίαν εἰληφέναι τὴν τιμωρίαν ἐδεήθη τοῦ κυρίου συγγνῶναί οἱ ἐπὶ ταῖς ἁμαρτίαις· μὴ γὰρ εἶναι μέγα θεοῦ ἐγκώμιον, εἰ δίκαιον σώσειεν· ἀγαθοῦ δέ, εἰ μετάνοιαν ἁμαρτωλοῦ προσοῖτο. καὶ τὸ μὲν ἄγαλμα θείᾳ δυνάμει διερράγη. ὁ δὲ θεὸς ἠγάθυνε τὸν βασιλέα καὶ εἰς Ἰερουσαλὴμ αὐτὸν ἐξέπεμψεν. ὁ δὲ ἐπανελθὼν καὶ θείας χρηστότητος πεῖραν λαβὼν πᾶσαν μὲν εἰδωλικὴν κατέστρεψε σκηνήν· τὸ δὲ ἱερὸν τοῦ θεοῦ ἥγνισε καὶ τὸν νόμον ἐφύλαξε καὶ τὴν πόλιν τειχίσας καὶ ἐπικτίσας διεῖπε δικαίως καὶ εὐσεβῶς. δεδεμένῳ δὲ ὄντι ἐν φυλακῇ ἐν πέδαις χαλκαῖς ἐν Βαβυλῶνι ἐδίδοσαν αὐτῷ ἐκ πιτύρων ἄρτον βραχὺν καὶ ὕδωρ ὀλίγον σὺν ὄξει μετρητῷ, πρὸς τὸ ζῆν αὐτὸν καὶ μόνον. καὶ τότε προσηύξατο πρὸς κύριον· κύριε παντοκράτορ· καὶ ἐπακούσας ὁ θεὸς τῆς φωνῆς αὐτοῦ ἔλυσεν αὐτὸν ἀπὸ τῶν δεσμῶν καὶ ὑπέστρεψεν εἰς Ἱερουσαλήμ· καὶ λατρεύσας κυρίῳ ἐξ ὅλης καρδίας ἐλογίσθη δίκαιος.

μ 134 Μανδαλωτόν: εἶδος φιλήματος ποικίλον καὶ ἡδύ. θηλυδριῶδες καὶ κατεγλωττισμένον καὶ μανδαλωτόν. Ἀριστοφάνης φησί.

μ 135 Μανδάτωρος: εἶδος ἀξιώματος.

μ 136 Μανδραγόρας: ὑπνωτικὸς καρπός. ἢ λήθης ποιητικός. καὶ φανεῖται πολὺν τὸν μανδραγόραν ἐκπεπωκώς.

μ 137 Μανδραγορίζω.

μ 138 Μάνδρων: ὄνομα κύριον. καὶ ζήτει περὶ τούτου παροιμίαν ἐν τῷ ἐγένετο καὶ Μάνδρωνι.

μ 139 Μανδύας: εἶδος ἱματίου, ὅπερ καλεῖται λωρίκιον.

μ 140 Μάναιχμος, Ἀλωπεκοννήσιος, κατὰ δέ τινας Προικοννήσιος, φιλόσοφος Πλατωνικός. ἔγραψε φιλόσοφα· καὶ εἰς τὰς Πλάτωνος Πολιτείας βιβλία γʹ.

μ 141 Μάναιχμος, Σικυώνιος, υἱὸς Ἀλκιβίου ἢ Ἀλκιβιάδου, ἱστορικός· γέγονε δὲ ἐπὶ τῶν διαδόχων. ἔγραψεν ἱστορίαν τὴν κατὰ τὸν Μακεδόνα Ἀλέξανδρον.

μ 142 Μάνεθως, Μένδης τῆς Αἰγύπτου, ἀρχιερεύς. ἔγραψε περὶ κατασκευῆς κυφίων. ζήτει τί τὸ κῦφι.

μ 143 Μάνεθως, Διοσπόλεως τῆς Αἰγύπτου ἢ Σεβεννύτης. Φυσιολογικά, Ἀποτελεσματικὰ δι’ ἐπῶν· καὶ ἄλλα τινὰ ἀστρονομούμενα.

μ 144 Μανέρως καὶ Περιμανώς: ὀνόματα ᾠδῆς. Εὔβουλος Καμπυλίωνι.

μ 145 Μανείην: εὐκτικόν.

μ 146 Μάνης: ὄνομα κύριον οἰκέτου. Ἀριστοφάνης Ὄρνισι· νῦν δ’ ἀνδράποδα, ἠλιθίους, Μάνας.

μ 147 Μάνης· οὗτος ὁ τρισκατάρατος ἐπὶ Αὐρηλιανοῦ βασιλέως ἐφάνη, Χριστὸν ἑαυτὸν καὶ πνεῦμα ἅγιον φανταζόμενος· μαθητὰς ιβʹ ὡς ἂν ὁ Χριστὸς ἐπαγόμενος καὶ ἐκ πάσης αἱρέσεως εἴ τι κακὸν ἐρανισάμενος ἐκ Περσίδος εἰς τὴν Ῥωμαίων γῆν κατὰ θεοῦ συγχώρησιν εἰσέφρησεν. οὗτος ὁ καὶ Μάνης καὶ Σκυθιανὸς λεγόμενος Βραχμὰν ἦν τὸ γένος, διδάσκαλον δὲ ἔσχε Βουδδᾶν τὸν πρῴην καλούμενον Τερέβινθον· ὃς παιδευθεὶς τὰ Ἑλλήνων τὴν Ἐμπεδοκλέους ἠγάπησεν αἵρεσιν, δύο ἀρχὰς λέγοντος ἀντικειμένας ἀλλήλαις. εἰσελθὼν δὲ ἐν Περσίδι ἐκ παρθένου ἑαυτὸν ἔφασκε γεγεννῆσθαι καὶ ἐν τοῖς ὄρεσιν ἀνατραφῆναι. καὶ συγγραψάμενος καὶ βιβλία δʹ τὸ μὲν ἐπωνόμασε τῶν Μυστηρίων, τὸ δὲ τὸ Εὐαγγέλιον, τὸ δὲ τὸν Θησαυρόν, τὸ δὲ τῶν Κεφαλαίων. καὶ ὁ μὲν Βουδδᾶς οὗτος, ὁ καὶ Τερέβινθος, ὑπὸ πνεύματος ἀκαθάρτου συντριβεὶς ἀπώλετο· γυνὴ δέ τις, παρ’ ᾗ κατέλυσε, τὰ χρήματα αὐτοῦ καὶ τὰς βεβήλους βίβλους κληρονομήσασα ὠνεῖται παιδάριον ἐτῶν ζʹ τοὔνομα Κούβρικον, ὃν καὶ διδάξασα γράμματα καὶ ἐλευθερώσασα κληρονόμον ἑαυτῆς πάντων καθίστησιν. ὁ δὲ λαβὼν τὰ βιβλία τοῦ Βουδδᾶ καὶ τὰ χρήματα διήρχετο τὴν Περσίδα, Μάνην ἑαυτὸν ὀνομάζων καὶ τῆς πλάνης τοῦ Βουδδᾶ συνίστωρ γενόμενος τὰ βιβλία πονήματα ἴδια ἔλεγεν. ὃν ὁ βασιλεὺς Περσῶν ἐξέδειρε ζῶντα, ὡς αἴτιον τοῦ θανάτου τοῦ υἱοῦ αὐτοῦ γενόμενον. νοσοῦντος γὰρ καὶ θεραπείας πολλῆς παρὰ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τῶν ἰατρῶν τυγχάνοντος, ὁ Κούβρικος ὑπέσχετο χωρὶς ἰατρῶν ἀναστῆσαι αὐτόν· καὶ ἀποστήσας τοὺς ἰατροὺς ἐθανάτωσεν αὐτόν. ὁ οὖν Μάνης οὗτος ἀποβαλόμενος τὴν παλαιὰν διαθήκην καὶ τὴν κτίσιν πᾶσαν καὶ τὴν τοῦ ἀνθρώπου κατασκευὴν οὐκ ἀγαθοῦ τινος εἶναι θεοῦ βλασφημῶν, ὑπὸ φθορὰν καὶ ἀλλοίωσιν οὖσαν, τὴν νέαν ὡς ἀγαθοῦ δῆθεν προσίεται θεοῦ καὶ κατὰ φαντασίαν καὶ δόκησιν τὸν Χριστὸν πεφηνέναι ἐτερατεύετο. καὶ καταδύσεις τινὰς ἐναγεῖς καὶ νυκτερινὰς καὶ παρανόμους μίξεις καὶ ἀρρητοποιΐας καὶ εἱμαρμένην καὶ μετενσωματώσεις καὶ ἄλλα τινὰ Ἑλληνικὰ διδάσκων. περὶ οὗ καὶ Θεόδωρος ὁ τῆς Ῥαϊθοῦ πρεσβύτερός φησι· Μάνης, ὃς φαντασίᾳ τινὶ ψιλῇ καὶ σχήματι διακένῳ σώματος ἀνθρωπείου πεφανερῶσθαι τὸν κύριον ἐφαντάσθη καὶ ὠνείρωξεν, ὡς πάσχειν μὲν δοκεῖν αὐτὸν καὶ πράττειν, ἅπερ ἔδρα καὶ ἔπασχε καθ’ ἡμᾶς, μηδὲν δὲ τούτων ἀληθείᾳ καὶ πράγματι ὑπάρξαι, ἀλλὰ δοκήσει μόνον καὶ ἀπάτῃ ἀποβουκολεῖν τοὺς ἀνθρώπους, οἷς καὶ συνανεστράφθαι νενόμισται. διὰ τοῦτο καὶ φύσεις δύο παραιτεῖται ἐπὶ τοῦ Χριστοῦ λέγειν, ἀλλὰ μίαν τῆς θεότητος. Παῦλος δέ τις σύγχρονος, ἐπίσκοπος Ἀντιοχείας τῆς μεγάλης, ψιλὸν ἄνθρωπον τὸν κύριον ἔφη, ὡς ἕνα τῶν προφητῶν. Παῦλος, ὅθεν καὶ Παυλικιανοί.

μ 148 Μάνης: ἀνδριάς. ζήτει ἐν τῷ κότταβος.

μ 149 Μάνης: ὄνομα Περσοῦ, ὃς ἀποδρὰς ἐκ τῆς τῶν Περσῶν βασιλείας ἐπὶ τοῦ μεγάλου Κωνσταντίνου τὰ Χριστιανῶν ἐτάραττε δόγματα. κλίνεται Μάνεντος.

μ 150 Μανιάκης: ὁ περιαυχένιος κόσμος. μανιάκαις καὶ περιχείροις ἦσαν κατακεκοσμημένοι.

μ 151 Μανίαι δ’ οὐ πᾶσιν ὁμοῖαι: τῶν μανιῶν αἱ μέν εἰσιν ἄτοποι, ὡς αἱ τῶν παραπαιόντων, αἱ δὲ αἱρεταὶ καὶ εὐχῆς ἄξιοι, οἷαι τῶν ποιητῶν καὶ τῶν χρησμολόγων.

μ 152 Μανίη: μανία.

μ 153 Μανιῶν: πληθυντικῶς. ἀντὶ τοῦ μανίας. σὺ δ’ εἰς τοσοῦτον τῶν μανιῶν ἐλήλυθας. λέγουσι δὲ καὶ ἑνικῶς, τὸ δὲ πλεῖστον πληθυντικῶς. τὸ γὰρ παράδειγμα τῶν μανιῶν ἀκούετε. Ἀριστοφάνης. καὶ Ὅμηρος εἰς τὴν αὐτὴν πλάστιγγα τῇ μανίᾳ τὴν μέθην τίθησιν.

μ 154 Μανιχαῖος: αἱρεσιάρχης.

μ 155 Μανθάνειν: γένεσις ἐπιστήμης. καὶ Μανθάνω, ἀντὶ τοῦ ἀκούω. μανθάνω γὰρ καὶ τοῦτο, ὅτι Μένανδρος ὁ κωμικὸς παρ’ ὀλίγον ἦλθε κριθῆναι δι’ οὐδὲν ἄλλο ἢ ὅτι φίλος ἦν αὐτῷ.

μ 156 Μάννον· ὁ δὲ παρὰ Μάννον ἀπεχώρησε δεξιάς τε παραβάς, ἃς βασιλεῖ ἔδωκε, καὶ ὅρκους πατήσας, οὓς ὤμοσε.

μ 157 Μανόν: ἀραιόν, χαῦνον· ἢ ἀνωφερές, ὡς φλόξ. καὶ ὁ μαινόμενος, ὁ μὴ ἰσχυρὸς ταῖς φρεσί· καὶ ἡ μάννα ἀπὸ τοῦ τετρύφθαι ὠνόμασται. μανοὺς δὲ γενομένους τοὺς καλάμους καὶ διύγρους ἐκ τῆς ἄγαν διαβροχῆς καταρραίνειν οἴνῳ καὶ διδόναι τροφὴν τοῖς ὑποζυγίοις.

μ 158 Μανόν· διαφέρει τὸ μανὸν τοῦ ναστοῦ. ζήτει ἐν τῷ ναστόν.

μ 159 Μανότερος.

μ 160 Μαντεύομαι· αἰτιατικῇ.

μ 161 Μαντεία: ὁ χρησμός. Μαντίας δὲ ὄνομα κύριον.

μ 162 Μαντεῖον· ζήτει ἐν τῷ Δωδωναῖον χαλκεῖον καὶ ἐν τῷ Δωδώνη.

μ 163 Μαντιναίων διῳκισμός· εἰς πέντε κώμας τὴν Μαντιναίων διῴκησαν πόλιν οἱ Λακεδαιμόνιοι· καὶ ἐκλήθη τοῦτο Μαντιναίων διῳκισμός.

μ 164 Μαντίνεον: ὄνομα τόπου.

μ 165 Μαντίνεια· καὶ Μαντινεῖς, ἐθνικόν. καὶ Μαντινεική, τόπος. ζήτει ἐν τῷ πλίνθος.

μ 166 Μαντίνη: ὄνομα κύριον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μ 167 Μαντιπόλος.

μ 168 Μάντις, μάντεως, μάντει δοτική.

μ 169 Μάντις, γενικῶς, θυοσκόοι ἱερῆες εἰδικῶς. ὅτι ἔστιν ἀκρὶς δυσκίνητος, χλωρά, καλουμένη μάντις, ἧστινος προσέχοντες ταῖς κινήσεσι μαντεύονται.

μ 170 Μαντοσυνῶν: μαντειῶν.

μ 171 Μαξέντιος, βασιλεὺς Ῥωμαίων, ὃς κακῶς τοὺς Ῥωμαίους ἐπέτριβε τυραννικῷ μᾶλλον ἢ βασιλικῷ τρόπῳ χρώμενος κατ’ αὐτῶν, μοιχεύων ἀνέδην τὰς τῶν ἐλευθέρων γυναῖκας καὶ πολλοὺς ἀναιρῶν καὶ ποιῶν τούτοις ἀκόλουθα. τοῦτο γνοὺς ὁ μέγας Κωνσταντῖνος ῥύσασθαι Ῥωμαίους τῆς ὑπ’ αὐτὸν βασιλείας ἐσπούδαζεν εὐθύς τε φροντίδα ἐτίθει, τίνα τρόπον καθέλοι αὐτόν. ἐν τοιαύτῃ οὖν φροντίδι ὢν περὶ μεσημβρινὰς ἡλίου ὥρας εἶδεν ἐν τῷ οὐρανῷ στῦλον πυρὸς σταυροειδῆ γράφοντα, ἐν τούτῳ νίκα· καὶ γέγονε Χριστιανός. Λικίνιος δὲ ὁ συμβασιλεύων αὐτῷ, τὰς Ἑλληνικὰς ψύχων δόξας ἐμίσει Χριστιανοὺς καὶ διωγμὸν μὲν προφανῆ φόβῳ Κωνσταντίνου κινεῖν ὑπεστέλλετο, λεληθότως δὲ πολλοὺς ἐσκευωρεῖτο. προϊὼν δὲ καὶ φανερῶς ἐπεχείρει· καὶ γίνεται διωγμὸς τοπικός. τὸν δὲ Κωνσταντῖνον οὐκ ἐλάνθανε· νόμῳ γὰρ ὁ Λικίνιος τοὺς ἐπισκόπους ἐκέλευε μὴ φοιτᾶν παρ’ ἀλλήλους, ὡς ἂν μὴ ἔχῃ πρόφασιν αὔξεσθαι τὰ Χριστιανῶν. διακοπείσης δὲ τῆς πλαστῆς φιλίας, εἰς ἀπέχθειαν ἦλθον· καὶ τέλος ἀναιρεῖται ὑπὸ Κωνσταντίνου ὁ Λικίνιος.

μ 172 Μαξιμῖνος, βασιλεὺς Ῥωμαίων. οὗτος παραλαβὼν τὴν ἀρχὴν πολλὴν τὴν μεταβολὴν ἐποιήσατο, τραχύτατα καὶ μετὰ πολλοῦ φόβου τῇ ἐξουσίᾳ χρώμενος, ἔκ τε ἡμέρου βασιλείας εἰς τυραννίδος ὠμότητα μεταγαγεῖν πάντα ἐπειρᾶτο. φύσει δὲ ἦν τὸ ἦθος ὥσπερ καὶ τὸ γένος βάρβαρος τό τε φονικὸν πάτριον ἔχων. εὐθέως οὖν τούς τε φίλους πάντας, οἳ συνῆσαν τῷ Ἀλεξάνδρῳ, σύνεδροί τε ὑπὸ τῆς συγκλήτου ἐπιλεχθέντες ἀπεσκευάσατο, βουλόμενος μόνος εἶναι ἐν τῷ στρατῷ καὶ μηδένα αὐτῷ παρεῖναι ἐκ συνειδήσεως εὐγενοῦς. πλείστους δὲ αὐτῶν καὶ ἀπέκτεινεν, ἐπιβουλὰς ὑποπτεύων. βασιλεύων δὲ τῆς ἑῴας πολλὰ μιαρὰ καὶ ἄτοπα καθ’ ὑπερβολὴν ἐπεδείξατο καὶ πρὸς τούτοις διωγμὸν ἀπηνῆ καὶ ἀπάνθρωπον κατὰ πᾶσαν ἀνατολὴν εἰς τοὺς Χριστιανούς, καθ’ ὃν πλεῖστοι τῶν εὐδοκίμων ἐμαρτύρησαν. ἄξια δὲ τῆς δυσσεβείας αὐτοῦ προοίμια τῆς μελλούσης αὐτὸν διαδέχεσθαι κολάσεως εἰκότως πέπονθε· νόσῳ γὰρ δεινοτάτῃ περιπεσόντος, ἀλγηδόνες ἰσχυραὶ τὴν πᾶσαν σάρκα αὐτοῦ διελυμαίνοντο· καὶ τὰ μὲν ἔγκατα διεφθείροντο ὑπὸ τῆς ἐνδομυχούσης σφοδροτάτης πυρώσεως, ἡ δὲ σὰρξ πᾶσα κηροῦ δίκην ἐξετήκετο· λαβροτέρως δὲ φλογιζομένῳ καὶ τηγανιζομένῳ καὶ αὐτὰ συνεφρύγησαν τὰ ὀστᾶ, ὥστε ἐξαφανισθῆναι καὶ τὸν χαρακτῆρα τῆς ἀνθρωπίνης μορφῆς. ἐλεεινῶς δὲ κατασηπόμενος τοσαύτην δυσωδίαν ἐξέπεμπεν, ὡς οὐδὲν τῶν ἐν τάφοις διαλυθέντων διαφέρειν. ὁ δὲ βραχὺ ἐμπνέων καὶ στενάξας ἀπέθανε.

μ 173 Μάξιμος, Τύριος, φιλόσοφος, διέτριψε δὲ ἐν Ῥώμῃ ἐπὶ Κομόδου. Περὶ Ὁμήρου καὶ τίς ἡ παρ’ αὐτῷ ἀρχαία φιλοσοφία· Εἰ καλῶς Σωκράτης οὐκ ἀπελογήσατο· καὶ ἄλλα τινὰ φιλόσοφα ζητήματα.

μ 174 Μάξιμος, Ἠπειρώτης ἢ Βυζάντιος, φιλόσοφος, διδάσκαλος Ἰουλιανοῦ Καίσαρος τοῦ Παραβάτου. ἔγραψε Περὶ ἀλύτων ἀντιθέσεων, Περὶ καταρχῶν, Περὶ ἀριθμῶν, ὑπόμνημα εἰς Ἀριστοτέλην, καὶ ἄλλα τινὰ πρὸς τὸν αὐτὸν Ἰουλιανόν.

μ 175 Μαπέειν: καταλαβεῖν.

μ 176 Μαραθίωνος. καὶ Μαραθήσιον, ὄνομα τόπου.

μ 177

Μαραθών: τόπος Ἀθήνησιν· ἀπὸ Μαράθου, υἱοῦ Ἀπόλλωνος. τοῦτον Καλλίμαχος ἐννότιον λέγει, τουτέστιν ἔνυδρον. καὶ Μαραθώνιον ἔργον. καὶ Μαραθωνομάχαι, σφενδάμνινοι. ζήτει περὶ Μαραθῶνος ἐν τῷ διεξιφίσω.

μ 178 Μαραναθά: Ἑβραϊστὶ ἀντὶ τοῦ εἶδον τὸν κύριον.

μ 179 Μαραναθά: κατὰ τὴν Ἑβραΐδα φωνὴν λέγει, ἀντὶ τοῦ ὁ κύριος ἡμῶν ἦλθε. τὸν δὲ τῆς οἰκονομίας βεβαιῶν λόγον τοῦτό φησιν· ὡσανεὶ ἔλεγεν, ὁ πάντων ἡμῶν δεσπότης καταβῆναι τοσοῦτον κατηξίωσε, καὶ ὑμεῖς ἐν τοῖς αὐτοῖς ἐστε ἁμαρτάνοντες καὶ οὐ φρίττετε τῆς ἀγάπης τὴν ὑπερβολήν, τῶν ἀγαθῶν τὸ κεφάλαιον. ἐννόησον γὰρ τοῦτο μόνον, φησί, καὶ ἀρκέσει σοι εἰς πάσης ἀρετῆς προκοπήν· καὶ πᾶσαν δυνήσῃ κατασβέσαι τὴν ἁμαρτίαν.

μ 180 Μαραντώπη: ὄνομα κύριον.

μ 181 Μάρας, ἀπὸ Βεροίας τῆς ἐν Συρίᾳ πόλεως, ἀνὴρ τῶν πλουσιωτάτων, ἀλλ᾽ ὅμως ὁ κόρος οὐδεμίαν αὐτῷ ὕβριν ἐνέτεκεν· οὐδὲ γὰρ κόρος οὐδεὶς ἐφαίνετο τῶν χρημάτων, ἀλλὰ ταῦτα μὲν ὄργανα ἐποιεῖτο δικαιοσύνης τε καὶ φιλανθρωπίας, ἐπιχορηγῶν τε τοῖς δεομένοις καὶ φιλοτιμούμενος ἐν τοῖς πολιτεύμασιν. οὕτω παρεῖχεν ἑαυτὸν τοῖς πᾶσιν ἐπιεικῆ καὶ δίκαιον, ὥστε οὔτε τῶν πολιτῶν οὐδεὶς αὐτῷ ἐγκέκληκε πώποτε οὔτε ξένων οὔτε τῶν κατ᾽ ἀστὺ γειτόνων οὔτε τῶν ἐν ἀγροῖς ὁμορούντων. οὐ μὴν ταῦτα δικαιοσύνης ἔργα ἀπελογίζετο, εἰ μηδένα ἀδικεῖν τῶν πολιτευομένων, ἀλλ᾽ ἐκεῖνα μᾶλλον, εἰ μὴ κάμνοι εὐεργετῶν. τοιγαροῦν οὐ τῶν ἑαυτοῦ μόνον ἐπεμελεῖτο πραγμάτων, ἀλλὰ καὶ τῶν ἀλλοτρίων, μάλιστα τῶν παρακεκτημένων ἔν τε τῷ ἄστει καὶ κατ᾽ ἀγρούς. μάλιστα δὲ τούτου τεκμήριον, εἴ τις ἠβούλετό τι πωλεῖν ἤ τις ὠνεῖσθαι τῶν πλησιαζόντων αὐτῷ, ὁ μὲν προσαπῄτει, ὁ δὲ προσετίθει τῷ τιμήματι τῆς ἄλλης ἀξίας, ὑπὲρ αὐτοῦ γέ τοι δήπουθεν, ὑπὲρ τοῦ κτήσασθαι ὅμορον καὶ γείτονα Μάραν, τὸν πάντων ἀνθρώπων δικαιότατον. ὥστε καὶ ἐξενίκησεν εἰς παροιμίαν ὁ Μάρας, ἐπὶ δικαίᾳ χρήσει τῶν πέλας.

μ 182 Μαργαρίτης. λύσις ὀνείρου· μαργαρῖται δηλοῦσι δακρύων ῥόον.

μ 183 Μαργαίνει: μαίνεται.

μ 184 Μάργης καὶ Μάργος: μαινόμενος. καὶ Ὑπερμαργότερος, ὁ ὑπερμαινόμενος. καὶ Γαστρίμαργος, ὁ περὶ τὴν γαστέρα μεμηνώς.

μ 185 Μαργίτης· Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος· ἐπωνυμίαν Ἀλεξάνδρῳ Μαργίτην ἔθετο. ἐκάλουν δὲ τοὺς ἀνοήτους οὕτως.

μ 186 Μαργῶσαν χεῖρα: μαινομένην χεῖρα.

μ 187 Μαργίτης: ἀνὴρ ἐπὶ μωρίᾳ κωμῳδούμενος. ὅν φασιν ἀριθμῆσαι μὲν μὴ πλείω τῶν ε′ δυνηθῆναι· νύμφην δὲ ἀγόμενον μὴ ἅψασθαι αὐτῆς, ἀλλὰ φοβεῖσθαι λέγοντα, μὴ τῇ μητρὶ αὐτὸν διαβάλῃ· ἀγνοεῖν δὲ νεανίαν ἤδη γεγενημένον καὶ πυνθάνεσθαι τῆς μητρός, εἴγε ἀπὸ τοῦ αὐτοῦ πατρὸς ἐτέχθη.

μ 188 Μαρδόνιος: ὄνομα κύριον.

μ 189 Μάρδονος.

μ 190 Μαρδοχαῖος: ὄνομα κύριον. ζήτει ἐν τῷ Ἀμὰν καὶ ἐν τῷ Ἐσθήρ.

μ 191 Μάρδοι: ἔθνος τὸ πᾶν λῃσταί· καὶ οὔτ᾽ ἂν εὖ ποιῶν τις αὐτοὺς πιστοὺς κτήσαιτο οὔτ᾽ ἂν κακώσας ἐς τοσόνδε ταπεινώσειεν, ὡς εἰ τοῦ φόβου ἀπαλλαχθεῖεν, μὴ ἂν παραυτίκα ἐπιθέσθαι, οἷς πάλαι ὑπέδυσαν.

μ 192 Μάρδοι: ἔθνος πολυάνθρωπον, τραχεῖαν γῆν ἐποικοῦντες καὶ μόλις ἀφ᾽ ὧν γεωργοῦσι τρεφόμενοι, ἄνιπποι καὶ πένητες· ὡς καὶ τὴν πρώτην ἀπιστεῖσθαι τύχην.

μ 193

Μαραίνω· αἰτιατικῇ.

μ 194 Μαριανός, Μάρσου δικηγόρου, τῶν ὑπάρχων Ῥώμης. Ῥωμαῖος μὲν τὸ ἀρχαῖον, μετοικήσαντος δὲ τοῦ πατρὸς Ἐλευθερόπολιν, μίαν τῶν τῆς πρώτης Παλαιστίνης, ἀπὸ ὑπάτων καὶ ὑπάρχων καὶ πατρίκιος γεγονώς, τὸ ἐπιφανέστερον, κατὰ τὸν βασιλέα Ἀναστάσιον. ἔγραψε βιβλία τοσαῦτα· Μετάφρασιν Θεοκρίτου ἐν ἰάμβοις ͵γρν', Μετάφρασιν Ἀπολλωνίου τῶν Ἀργοναυτικῶν ἐν ἰάμβοις ͵εχη', Μετάφρασιν Καλλιμάχου Ἑκάλης, ὕμνων καὶ τῶν Αἰτίων καὶ ἐπιγραμμάτων ἐν ἰάμβοις ͵ϛωι', Μετάφρασιν Ἀράτου ἐν ἰάμβοις ͵αρμ', Μετάφρασιν Νικάνδρου τῶν Θηριακῶν ἐν ἰάμβοις ͵ατο'· καὶ ἄλλας πολλὰς μεταφράσεις.

μ 195 Μαριλάδης: ὄνομα. τουτέστι γέρων Ἀχαρνικός.

μ 196 Μαρίλη: ἀμαυρὸν πῦρ. ὁ χνοῦς, καὶ τὸ λεπτότατον τῶν ἀνθράκων. χαλκεὺς οἷά τις γέμων καπνοῦ καὶ μαρίλης. καὶ Κρατῖνος ἐν Ὥραις· ἐφθάρη μαρίλης τὴν φάρυγγα πλέαν ἔχων. ἡ ἀπὸ τῶν ἀνθράκων σποδιά. Ἀριστοφάνης· ὑπὸ τοῦ δέους δὲ τῆς μαρίλης μοι συχνὴν ὁ λάρκος ἐπετίλησεν, ὥσπερ σηπία.

μ 197 Μαρίνα.

μ 198 Μαρῖνος, Νεαπολίτης, φιλόσοφος καὶ ῥήτωρ, μαθητὴς Πρόκλου τοῦ φιλοσόφου καὶ διάδοχος. ἔγραψε βίον Πρόκλου τοῦ αὐτοῦ διδασκάλου καὶ καταλογάδην καὶ ἐπικῶς· καὶ ἄλλα τινὰ φιλοσόφων ζητήματα.

μ 199 Μαρῖνος· οὗτος τὴν Πρόκλου διατριβὴν παραδεξάμενος καὶ Ἰσιδώρου τοῦ φιλοσόφου τῶν Ἀριστοτέλους λόγων καθηγησάμενος, ἐλθόντι τὸ δεύτερον Ἀθήναζε, τοῦ κοινοῦ διδασκάλου τετελευτηκότος, ἐπέδειξεν αὐτῷ συγγεγραμμένον ὑπόμνημα πρὸς ἑαυτοῦ στίχων παμπόλλων εἰς τὸν Πλάτωνος Φίληβον, ἐντυχεῖν τε καὶ ἐπικρῖναι κελεύσας, εἰ ἐξοιστέον εἴη τὸ βιβλίον. ὁ δὲ ἀναγνοὺς ἐπιμελῶς οὐδὲν ἀπεκρύψατο τῶν αὐτῷ δοκούντων, οὐ μέντοι ἄμουσον ἀφῆκε φωνὴν οὐδεμίαν, τοσοῦτον δὲ ἔφη μόνον, ἱκανὰ εἶναι τὰ τοῦ διδασκάλου ὑπομνήματα εἰς τὸν διάλογον· συνεὶς δ' ἐκεῖνος παραυτίκα διέφθειρε πυρὶ τὸ βιβλίον. ἤδη δὲ καὶ πρότερον δι' ἐπιστολῆς ἐκοινώσατο πρὸς αὐτὸν τὴν ἑαυτοῦ δόξαν τῶν εἰς Παρμενίδην ὑποθέσεών τε καὶ ἐξηγήσεων· τά τε ἐπιχειρήματα συντάξας ἔπεμψεν, οἷς ἐπείσθη μὴ εἶναι τὸν διάλογον περὶ θεῶν ὁ Μαρῖνος, ἀλλὰ περὶ εἰδῶν. ἐφ' ᾧ καὶ ὑπομνήματα κατεβάλετο, τοῦτον ἐξηγούμενα τὸν τρόπον τὰς Παρμενίδου διαλεκτικὰς ὑποθέσεις. ὁ δὲ καὶ πρὸς ταύτην ἀντιγράφει τὴν ἐπιστολήν, μυρίαις ὅσαις ἀποδείξεσι καταβαλόμενος, ἀληθεστάτην εἶναι τὴν θειοτέραν ἐξήγησιν τοῦ διαλόγου, ὥστε εἰ μὴ ἔφθη τὸ βιβλίον ἐκδεδομένον, τάχα ἂν καὶ τοῦτο διέφθειρεν. ἴσως δὲ αὐτὸν διεκώλυσε καὶ ἡ ὄψις τοῦ ἐνυπνίου· ὅτι θεάσασθαί ποτε ἔλεγεν ὁ Πρόκλος, ὡς ὑπομνημάτων εἰς Παρμενίδην αὐτοῦ Μαρίνου ἐσομένων.

μ 200 Μαρίωνος: ὄνομα κύριον.

μ 201 Μάρις, τῆς ἐν Βιθυνίᾳ Χαλκηδόνος ἐπίσκοπος· καταλαβὼν δὲ Ἰουλιανὸν τὸν Παραβάτην θύοντα τῇ Τύχῃ ἐν τῇ βασιλικῇ Κωνσταντινουπόλεως, τηνικαῦτα χειραγωγούμενος (ἦν γὰρ δὴ πρὸς τῷ γήρᾳ ὑπόχυσιν ὀφθαλμῶν ὑπομείνας), πολλὰ τὸν βασιλέα προσελθὼν περιύβρισε τὸν ἀσεβῆ καλῶν, τὸν ἀποστάτην, τὸν ἄθεον. ὁ δὲ λόγοις τὰς ὕβρεις ἠμύνετο τυφλὸν καλέσας, καὶ οὐκ ἄν, φησίν, οὐδὲ ὁ Γαλιλαῖός σου θεὸς θεραπεύσῃ σε. Γαλιλαῖον γὰρ εἰώθει καλεῖν τὸν Χριστόν. ὁ δὲ δὴ Μάρις παρρησιαίτερον πρὸς τὸν βασιλέα εἶπεν· εὐχαριστῶ, φησί, τῷ θεῷ τῷ τυφλώσαντί με, ἵνα μὴ ἴδω τὸ πρόσωπόν σου, οὕτως ἐκπεπτωκὸς πρὸς τὴν ἀσέβειαν. οὐδὲν πρὸς ταῦτα ὁ Ἰουλιανὸς ἀπεκρίνατο, δεινῶς δὲ καὶ τοῦτο μετήρχετο· ἑωρακὼς γὰρ τοὺς ἐπὶ Διοκλητιανοῦ μαρτυρήσαντας ὑπὸ τῶν Χριστιανῶν τιμωμένους, προθύμως τε σπεύδειν ἐπὶ τῷ μαρτυρῆσαι πολλοὺς ἐπειγομένους ὥσπερ αὐτῷ τούτῳ τοὺς Χριστιανοὺς ἀμυνόμενος, ἐπὶ ἑτέραν ἐτρέπετο. καὶ τὴν μὲν ὑπερβάλλουσαν ἐπὶ Διοκλητιανοῦ ὠμότητα ὑπερέθετο· οὐ μὴν

πάντη τοῦ διώκειν ἀπέσχετο. διωγμὸν δὲ λέγω τὸ ὁπωσοῦν ταράττειν τοὺς ἡσυχάζοντας. ἐτάραττε δὲ ὧδε· νόμῳ ἐκέλευε Χριστιανοὺς παιδεύσεως μὴ μετέχειν, ἵνα μή, φησίν, ἀκονώμενοι τὴν γλῶτταν ἑτοίμως πρὸς τοὺς διαλεκτικοὺς τῶν Ἑλλήνων ἀπαντῶσι. πολλὰ δὲ ἐπὶ πολλοῖς μηχανησάμενος ἔπεισέ τινας πρὸς τὸ θύειν ἀποκλῖναι· ἐν οἷς καὶ Ἑκηβόλιον Κωνσταντινουπόλεως σοφιστήν.

μ 202 Μαρκελλῖνος, ἀνὴρ ἐπιεικὴς καὶ γενναῖος, ἐδυνάστευε μὲν Δαλμάτας, ἐν Ἠπείρῳ κατῳκημένων Ἰλλυριῶν, ἐπεπαίδευτο δὲ τὴν Ῥωμαΐδα παιδείαν καὶ μαντικῆς ἐμπειρότατος ἐγεγόνει καὶ τἄλλα φιλολογώτατος· ὃς ἐλευθέραν ἐκέκτητο τὴν ἀρχήν, οὔτε Ῥωμαίων βασιλείᾳ δουλεύων οὔτε ἄλλῳ δυναστεύοντι τῶν ἐθνῶν οὐδενί, ἀλλ’ ἦν αὐτόνομος, μετὰ δικαιοσύνης ἐξηγούμενος τῶν ὑπηκόων. παρῆν δὲ αὐτῷ καὶ φρόνησις ἱκανὴ πολιτεύματος καὶ ἀνδρεία θαυμαστή, μεμελετηκυῖα τὰ πρὸς πόλεμον· ᾧ συνῆν Σαλούστιος ὁ φιλόσοφος.

μ 203 Μάρκελλος, μάγιστρος Ἀρκαδίου τοῦ βασιλέως, κόσμος ἀρετῆς ἁπάσης ἤ, τό γε ἁρμονικώτερον εἰπεῖν, ἀρετή τις ἔμψυχος.

μ 204 Μάρκελλος, Περγαμηνός, ῥήτωρ. ἔγραψε βιβλίον Ἀδριανὸν ἢ περὶ βασιλείας.

μ 205 Μάρκελλος Σιδήτης, ἰατρός, ἐπὶ Μάρκου Ἀντωνίνου. οὗτος ἔγραψε δι’ ἐπῶν ἡρωϊκῶν βιβλία ἰατρικὰ δύο καὶ μ′, ἐν οἷς καὶ περὶ λυκανθρώπου.

μ 206 Μάρκελλος, στρατηγὸς ἐπὶ Κομόδου· ὃς δωροδοκίας τοσοῦτον ἀπεῖχεν, ὅσον τῆς γε φιλανθρωπίας καὶ τῆς ἡμερότητος μετεῖχεν. ὅπως γὰρ δὴ διὰ πάσης τῆς νυκτὸς ἐγρηγορέναι δοκῇ καὶ κατὰ τοῦτο μηδὲ τῶν ἄλλων τις τῶν συνόντων οἱ τις καθεύδῃ, ιβ′ γραμματεῖα, οἷά γε ἐκ φιλύρας ποιεῖται, καθ’ ἑκάστην ἑσπέραν ὡς εἰπεῖν συνέγραφε καὶ προσέταττέ τινι ἄλλο ἄλλῃ ὥρᾳ κομίζειν τισίν, ἵν’ ὡς καὶ ἀεὶ ἐγρηγορὼς θαυμάζηται. ἦν μὲν γὰρ καὶ ἄλλως ὑπνομαχεῖν πεφυκώς, ἐπὶ πλεῖον δὲ αὐτὸ καὶ ἐκ τῆς τροφῆς ἠσκήκει. τά τε γὰρ ἄλλα ἥκιστα ἄδην ἐσιτεῖτο, καὶ ὅπως μηδὲ τῶν ἄρτων διαπιμπλᾶται, ἐκ τῆς Ῥώμης αὐτοὺς μετεπέμπετο, οὐχ ὡς οὐ δυνάμενος τῶν ἐπιχωρίων ἐσθίειν, ἀλλ’ ἵν’ ὑπὸ τῆς παλαιότητος αὐτῶν μὴ δύνηται μηδὲ σμικρῷ πλέον τοῦ πάνυ ἀναγκαίου φαγεῖν· τὰ γὰρ οὖλα αὐτοῦ κακῶς ἔχοντα ῥᾳδίως ὑπὸ τῆς τῶν ἄρτων ξηρότητος ᾑμάσσετο. ἐπετήδευε δ’ οὖν ἐπὶ μεῖζον αὐτὸ πλάττεσθαι, ἵν’ ὡς μάλιστα διαγρυπνεῖν δοκῇ.

μ 207 Μαρκιανός· οὗτος ἐπὶ Οὐάλεντος τοῦ βασιλέως ἦν καὶ Ἀγελίου ἐπισκόπου Κωνσταντινουπόλεως, ἐλλόγιμος· ὃς πάλαι μὲν κατὰ τὰ βασίλεια ἐστρατεύετο, τότε δὲ πρεσβύτερος τῆς Ναυατιανῶν ἦν ἐκκλησίας, γραμματικοὺς λόγους Ἀναστασίαν τὴν τοῦ βασιλέως θυγατέρα διδάσκων.

μ 208 Μαρκιανός· οὗτος συνῆν Μουσωνίῳ ἐκ Παμφυλίας, ἀνὴρ ἐς ἀρετὴν ἅπασαν ὥσπερ τις κανὼν ἀπηκριβωμένος· φιλόκαλος γὰρ ὢν καὶ φιλάγαθος ὁ Μουσώνιος τοὺς πανταχόθεν εἷλκε παρ’ ἑαυτόν, ὥσπερ ἡ μαγνῆτις τὸν σίδηρον. οὐκ ἦν δὲ βασανίζειν ὁποῖός τις ὁ δεῖνα, ἀλλὰ Μουσωνίου φίλον ἀκούσαντα ὅτι καλὸς ἦν εἰδέναι.

μ 209 Μαρκιανός· οὗτος ἐπὶ Ζήνωνος ἤκμαζεν. ἐν ᾧ δὲ ἦν εὐκτηρίῳ πρεσβύτερος χειροτονηθείς, διετέλει. μεγίστης δὲ ἐξουσίας τυχὼν παρὰ Ἴλλου οὗτος ὁ πλάνος καὶ τοῖς Ἐπικουρείοις δόγμασιν ὁσημέραι αὑτὸν κακύνων, αὐτοφυῆ ἔλεγε τὸν κόσμον καὶ διοικεῖσθαι οὐκ ἐκ θεοῦ, ἀλλ’ ἐξ ἐνεργείας τῆς τῶν ἀστέρων. καθὸ γὰρ ἕκαστον αὐτῶν τῇ τούτων φθάσει συμπεριφερόμενον δινήσει, τῶν κατ’ αὐτὴν τικτομένων τὴν ῥοπὴν τὴν ἐπικρατείαν κληροῦνται.

μ 210 Μάρκιος, στρατηγὸς Ῥωμαίων. οὗτος ἐφυγαδεύθη ὑπὸ τοῦ δήμου· ἦν τε οἰμωγὴ καὶ δάκρυα τῶν προπεμπόντων αὐτὸν καὶ οἰκτειρόντων. ὁ δὲ Μάρκιος οὔτε ἀνακλαυσάμενος ὤφθη τὰς ἑαυτοῦ τύχας οὔτε ἀποιμώξας οὔτε ἄλλο εἰπὼν ἢ δράσας ἀνάξιον τῆς ἑαυτοῦ μεγαλοφροσύνης

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οὐδοτιοῦν. ἔτι δὲ μᾶλλον ἐδήλωσε τὴν καρτερίαν καὶ τὴν γενναιότητα τῆς γνώμης, ἐπειδὴ οἴκαδε ἀφικόμενος γυναῖκά τε εἶδε καὶ μητέρα καταρρηγνυμένας τοὺς πέπλους καὶ τὰ στέρνα τυπτούσας καὶ οἷα εἰκός ἐστιν ἐπὶ τοιαύταις συμφοραῖς λέγειν τὰς ἀποζευγνυμένας ἀπὸ τῶν ἀναγκαιοτάτων σφίσι θανάτοις ἢ φυγαῖς ἀναβοώσας· οὐδὲ πρὸς τὰ δάκρυα τῶν παίδων ἔπαθεν· ὧν ὁ εἷς δέκα γεγονὼς ἔτη, ὁ δὲ ὑπαγκάλιος· ἀλλ' ἐξῄει κατὰ σπουδὴν ἐπὶ τὰς πύλας, οὐθενὶ δηλώσας, ὅπου τὴν ἀπαλλαγὴν ποιήσοιτο. ἦν δὲ ἀνὴρ ἄριστος τὰ πολέμια καὶ πρὸς πάσας τὰς ἡδονὰς ἐγκρατής, τά τε δίκαια οὐκ ἀπὸ νόμου μᾶλλον ἀνάγκης ἅπασιν ἀποδιδούς, ἀλλ' ἑκών τε καὶ προσπεφυκὼς πρὸς αὐτὰ εὖ. καὶ οὐ μόνον αὐτὸς ἁγνεύειν ἀπὸ πάσης κακίας προθυμούμενος, ἀλλὰ καὶ τοὺς ἄλλους προσαναγκάζειν δικαιῶν, μεγαλόφρων τε καὶ δωρηματικὸς καὶ ἐς ἐπανόρθωσιν προχειρότατος. ἀλλὰ γὰρ ἐν ἀδυνάτῳ ἦν ἄρα πάσας τὰς ἀρετὰς ἐν ἀνθρώπου γενέσθαι φύσει, οὐδὲ φύεταί τις ἀπὸ θνητῶν καὶ ἐπικήρων σπερμάτων περὶ πάντα ἀγαθός· ἐκείνῳ γε οὖν πάντα καὶ τὰς ἀρετὰς ὁ δαίμων χαρισάμενος ἑτέρας οὐκ εὐτυχεῖς κῆράς τε καὶ ἄτας προσῆψε. τὸ γὰρ πραῢ καὶ φαιδρὸν οὐκ ἐπῆν αὐτοῦ τοῖς τρόποις, οὐδὲ τὸ θεραπευτικὸν τῶν πέλας ἔν τε ἀσπασμοῖς καὶ προσαγορεύσει, οὐδὲ δὴ τὸ εὐδιάλλακτον καὶ μετριοπαθές, ὁπότε δι' ὀργῆς ὅτῳ γένοιτο, οὐδὲ ἡ πάντα τὰ ἀνθρώπινα ἐπικοσμοῦσα χάρις, ἀλλ' ἀεὶ πικρὸς καὶ χαλεπὸς ἦν. ταῦτα τε δὴ αὐτὸν ἐν πολλοῖς ἔβλαψε, καὶ πάντων μάλιστα ἡ περὶ τὰ δίκαια καὶ τὴν φυλακὴν τῶν νόμων ἄκριτός τε καὶ ἀπαράπειστος καὶ οὐθὲν τῷ ἐπιεικεῖ διδοῦσα ἀποτομία. ἔοικεν ἀληθὲς εἶναι τὸ ὑπὸ τῶν ἀρχαίων λεγόμενον φιλοσόφων, ὅτι μεσότητές εἰσιν, οὐκ ἀκρότητες αἱ τῶν ἠθῶν ἀρεταί, μάλιστα δὲ ἡ δικαιοσύνη. οὐ γὰρ μόνον λείπουσα τοῦ δικαίου πέφυκεν, ἀλλὰ καὶ ὑπερβάλλουσα· αὐτοῖς τε οὐ λυσιτελής ἐστιν, ἀλλ' αἰτία μεγάλων συμφορῶν. Μάρκιον γὰρ τὸ ἄκρον δίκαιον ἔβλαψε, καὶ ἐξηλάθη τῆς πατρίδος· πάντα γὰρ τὰ μὴ δίκαια ἀντιλέγων μῖσος ἤγειρεν. εἰ μὲν οὖν ἅμα τοῖς σώμασι διαλυομένοις καὶ τὸ τῆς ψυχῆς, ὅ τι δή ποτέ ἐστιν ἐκεῖνο, συνδιαλύεται, καὶ οὐδαμῆ οὐθὲν ἔτι ἐστίν, οὐκ οἶδα πῶς μακαρίους ὑπολάβω τοὺς μηθὲν μὲν ἀπολαύσαντας τῆς ἀρετῆς ἀγαθόν, δι' αὐτὴν δὲ ταύτην ἀπολομένους· εἰ δὲ καὶ ἄφθαρτοι μέχρι τοῦ παντὸς αἱ ψυχαὶ τυγχάνουσιν ἡμῶν οὖσαι, ἢ χρόνον μετὰ τὴν ἀπαλλαγὴν τῶν σωμάτων ἐνδιαμένουσι, μήκιστον μὲν αἱ τῶν ἀγαθῶν ἀνδρῶν, ἐλάχιστον δὲ αἱ τῶν κακῶν, ἀποχρῶσα τιμὴ φαίνοιτο αὐτοῖς ἀρετὴν ἀσκοῦσιν· ἠναντιώθη παρὰ τῆς τύχης, ἡ παρὰ τῶν ζώντων εὐλογία καὶ μνήμη μέχρι πλείστου παραμείνασα χρόνου. ὃ καὶ τῷ ἀνδρὶ ἐκείνῳ συνέβη. οὐ γὰρ μόνον Οὐολοῦσκοι τοῦτον ἐπένθησαν, ὧν ἦρχεν, ἀλλὰ καὶ Ῥωμαῖοι πένθος ἐποιήσαντο ἰδίᾳ καὶ δημοσίᾳ, καὶ αἱ γυναῖκες ἀποθέμεναι χρυσὸν καὶ τὸν ἄλλον κόσμον καὶ μέλασιν ἀμφίοις χρησάμεναι καὶ πενθήσασαι ἐνιαύσιον χρόνον· καὶ ἐτῶν ἐς τόδε φ' διαγεγονότων, οὐ γέγονεν ἐξίτηλος ἡ τοῦ ἀνδρὸς μνήμη.

μ 211 Μάρκιος νέος· ζήτει ἐν τῷ Βουολοῦσκοι.

μ 212 Μάρκιον: ὄνομα ὄρους.

μ 213 Μαρκίωνος.

μ 214 Μάρκος, ὁ καὶ Ἀντωνῖνος, βασιλεὺς Ῥωμαίων ὁ ἐπαινετὸς κατὰ πάντα φιλόσοφος· ἀκροατὴς μὲν καὶ ἄλλων πολλῶν γενόμενος. ὕστερον δὲ διήκουσε Σέξτου, ἐκ Βοιωτίας φιλοσόφου, ἐπ' αὐτῆς Ῥώμης, θαμίζων αὐτῷ καὶ φοιτῶν ἐπὶ θύρας· πρὸς ὃν καὶ Λούκιός τις ῥήτωρ, γνώριμος Ἡρώδου τοῦ Ἀθηναίου ῥήτορος, ἤρετο προϊόντα, ποῖ βαδίζοι καὶ ἐφ' ὅ τι. καὶ ὁ Μάρκος, καλόν, ἔφη, καὶ γηράσκοντι τὸ μανθάνειν. εἶμι δὴ πρὸς Σέξτον τὸν φιλόσοφον μαθησόμενος ἃ οὔπω οἶδα. καὶ ὁ Λούκιος ἐξάρας τὴν χεῖρα εἰς τὸν οὐρανόν, ὦ ἥλιε, ἔφη, ὁ Ῥωμαίων βασιλεὺς γηράσκων ἤδη δέλτον ἐφαψάμενος ἐς διδασκάλου φοιτᾷ. ὁ δὲ ἐμὸς βασιλεὺς Ἀλέξανδρος δύο καὶ τριάκοντα ἐτῶν ἀπέθανεν. οὗτος ἔγραψε τοῦ ἰδίου βίου ἀγωγὴν ἐν βιβλίοις ιβ'.

μ 215

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Μάρκος, βασιλεὺς Ῥωμαίων· ὃν ἐκπλήττεσθαι ἐν σιωπῇ μᾶλλον ἢ ἐπαινεῖν ῥᾴδιον, οὐδενὸς λόγου ταῖς τοῦ ἀνδρὸς ἀρεταῖς ἐξισουμένου. ἐκ πρώτης γὰρ ἤδη τῆς ἡλικίας εὐσταθῆ τε καὶ ἡσύχιον βίον ὑποστησάμενος οὔτε κατὰ δέος οὔτε καθ' ἡδονὴν τραπεὶς τὸ πρόσωπον ὤφθη πώποτε. ἐπαινεῖ δὲ τῶν φιλοσόφων τοὺς ἀπὸ τῆς Στοᾶς καὶ ἦν ἄρα ἐκείνων μιμητὴς οὐ μόνον κατὰ τὴν τῶν διαιτημάτων ἐπιτήδευσιν, ἀλλὰ καὶ κατὰ τὴν τῶν μαθημάτων σύλληψιν. οὕτω γοῦν ἐκ νέας κομιδῇ τῆς ἡλικίας ἐξέλαμπεν, ὡς πολλάκις τὸν Ἀδριανὸν ἐπὶ τοῦτον ἐθελῆσαι τὸν τῆς βασιλείας ἀγαγεῖν κλῆρον. ἐπεὶ δὲ ἔφθασε τὸν Εὐσεβῆ πρότερον κατὰ νόμον ποιησάμενος, ἐκείνῳ μὲν τὴν ἑαυτοῦ διαδοχὴν ἐφύλαξε, τοῦτον δὲ συνοικεῖν ἔγνω διὰ τῆς ἐπιγαμίας τῷ Εὐσεβεῖ, ὡς ἂν κατὰ τὴν τοῦ γένους διαδοχὴν ἐς τὴν ἡγεμονίαν παρέλθοι. τόν τε γοῦν ἰδιώτην βίον ἐν ἰσηγορίᾳ τοῖς πολλοῖς Ῥωμαίοις ἐβίω, οὐδὲν τῇ ἐσποιήσει τοῦ γένους ἀλλοιωθείς. καὶ ἐπεὶ παρῆλθεν ἐς τὴν ἡγεμονίαν, κατὰ μοναρχίαν ἐξηγούμενος καὶ τὴν ἄκραν δυναστείαν καρπούμενος πρὸς οὐδεμίαν ἀλαζονείαν ὑπήχθη πώποτε, ἀλλ' ἦν ἐλεύθερος μὲν καὶ δαψιλὴς ἐν τοῖς εὐεργετήμασιν, ἀγαθὸς δὲ καὶ μέτριος ἐν ταῖς τῶν ἐθνῶν διοικήσεσι.

μ 216 Μάρκος, βασιλεὺς Ῥωμαίων, ὁ Εὐσεβὴς ἐπικληθείς. οὗτος εἶχε μὲν καὶ τὰς ἄλλας ἀρετὰς ἁπάσας, καὶ ἄριστα δὴ πάντων τῶν ἐν κράτει τινὶ γενομένων ἦρξε, πλὴν καθόσον οὐ πολλὰ τῷ σώματι ἀνδρίζεσθαι ἐδύνατο· καὶ τοῦτο ἐξ ἀσθενεστάτου καρτερικώτατον ἀπέδειξε. πλεῖστον δὲ ἐν εὐεργεσίᾳ διῆγεν, ὅθεν που καὶ νεὼν αὐτῆς ἱδρύσατο, ὀνόματί τινι ἰδιωτάτῳ καὶ μήποτε ἀκουσθέντι προσκαλέσας αὐτήν. αὐτὸς μὲν γὰρ πάντων τῶν ἁμαρτημάτων ἀπείχετο καὶ οὔτε ἑκὼν οὔτε ἄκων ἐπλημμέλει, τὰ δὲ δὴ τῶν ἀλλοτρίων ἁμαρτήματα, καὶ μάλιστα τὰ τῆς γυναικός, ἔφερε καὶ οὔτε ἐπολυπραγμόνει οὔτε ἐκόλαζεν. ἀλλ' εἰ μέν τις χρηστόν τι ἔπραττεν, ἐπῄνει καὶ ἐχρῆτο ἐς ἐκεῖνο αὐτῷ, τῶν δὲ ἑτέρων οὐ προσεποιεῖτο, λέγων, ὅτι ποιῆσαι μέν τινι ἀνθρώπους ὁποίους βούλεται ἔχειν ἀδύνατόν ἐστι, τοῖς δὲ δὴ οὖσι προσήκει, ἐς ὅ τι ἄν τις αὐτῶν τῷ κοινῷ χρήσιμος ᾖ, χρῆσθαι. ἔτη γὰρ ν' καὶ μῆνας ι' ἡμέρας τε κ' ζήσας καὶ ιθ' ἔτη ἡμέρας ια' αὐταρχήσας ὅμοιος διὰ πάντων ἐγένετο καὶ ἐν οὐδενὶ ἠλλοιώθη. ἀγαθὸς δὲ ἦν καὶ οὐδὲν προσποιητὸν εἶχε. πάμπολλα γὰρ καὶ ὑπὸ παιδείας ὠφελήθη, ἐν ῥητορικῆς καὶ φιλοσοφίας λόγοις ἀσκηθείς. ἀφ' οὗ δὴ παμπληθεῖς φιλοσοφεῖν ἐπλάττοντο, ἵνα ὑπ' αὐτοῦ πλουτίζωνται. πλεῖστον δὲ ὅμως ὑπὸ τῆς φύσεως ἐξήρθη. λέγει καὶ ἄλλους μυρίους ἐπαίνους εἰς αὐτὸν Δίων.

μ 217 Μάρκος Ἀπίκιος, Ῥωμαῖος, ὡς ἦν ἀσωτίας πέρας οὐδεὶς ἀντιφήσει· δοκεῖ δέ πως μεγαλονοίας ἔργον ἐκεῖνο ἀποδείξασθαι ἐν αὑτοῦ. ἑστιῶντο ὁσημέραι, καὶ γὰρ ἔζη, φασί, τῇ γαστρὶ καὶ τοῖς ἐκείνης ἀκρατεστέροις. καί ποτε μεταξὺ θοιναζόντων, Φάβιος, τῶν ὑπατευκότων εἷς, λαβὼν ἔκπωμα κρυστάλλου μέγα τίμιον, εἶτα ἄκων κατέαξεν αὐτό· καὶ ἐπὶ τούτῳ συννεφὴς ἦν, ἄχει πληγεὶς τὴν ψυχήν. ὁ τοίνυν Ἀπίκιος πειρώμενος αὐτὸν τῆς λύπης ἀπάγειν, οὐ καταβαλεῖς, φησί, τὸ πραχθὲν καὶ σεαυτὸν ἡμῖν παρέξεις φαιδρότερον συμπότην; ἢ σοὶ φίλῳ ὄντι τοῦτο δρᾶσαι οὐκ ἐξέσται, ὅπερ οὖν δρῶσι καὶ τῶν οἰνοχόων καὶ τῶν ἀργυρωνήτων πολλοὶ πολλάκις;

μ 218 Μάρκος Μάλλιος, εὐπατρίδης, Κελτῶν ἐπελθόντων τῇ Ῥώμῃ, ταύτην περιέσωσε καὶ τιμῶν μεγίστων ἠξιώθη. ὕστερον δὲ πρεσβύτην πολλάκις ἐστρατευμένον ἀγόμενον εἰς δουλείαν ὑπὸ τοῦ δανειστοῦ γνωρίσας ἀπέδωκε τὸ χρέος ὑπὲρ αὐτοῦ καὶ ἐπὶ τῷδε εὐφημούμενος πᾶσιν ἠφίει τοῖς ἑαυτοῦ χρήσταις τὰ ὀφλήματα. προϊὼν δὲ τῇ δόξῃ καὶ ὑπὲρ ἄλλων ἀπεδίδου καὶ ταῖς δημοκοπίαις ἐπαιρόμενος ἐβούλευσεν ἤδη χρεῶν ἀποκοπὰς κοινάς, ἢ τὸν δῆμον ἠξίου τοῖς δανείσασιν ἀποδοῦναι τὴν γῆν, ἐς τοῦτο ἀποδόμενον ἔτι οὖσαν ἀνέμητον.

μ 219 Μάρκος, Ἀρεθουσίων ἐπίσκοπος, λόγῳ καὶ βίῳ κεκοσμημένος· ὃν ἐπὶ Ἰουλιανοῦ πολλαῖς αἰκίαις ὑπέβαλον, καὶ εἰς ὑπονόμους ἐμβαλόντες, εἶτα παιδίοις παρέδοσαν κεντεῖν αὐτὸν ταῖς γραφίσι. μετὰ δὲ ταῦτα εἰς γύργαθον ἐμβαλόντες καὶ γάρῳ καὶ μέλιτι χρίσαντες, ὑπαίθριον

ᾐώρησαν ἐν θέρους ἀκμῇ, σφῆκας ὁμοῦ καὶ μελίττας εἰς θοίνην προκαλούμενοι. ὁ δὲ ἀνενδότως διεκαρτέρησε. ὅτι Μάρκος ὁ εὐαγγελιστὴς ἔχει τίτλους μη′, κεφάλαια λϛ′.

μ 220 Μαρμαρέην: λαμπράν. καὶ Μαρμαρέαισιν αὐγαῖς, ταῖς λαμπραῖς. Μαρμαίρειν γὰρ τὸ λάμπειν καὶ καταυγάζειν.

μ 221 Μαρμαρυγή: ἄστραψις, λαμπηδών.

μ 222 Μαρώνεια: τόπος ἐστὶ τῆς Ἀττικῆς, οὗ Δημοσθένης ἐν τῇ πρὸς Πανταίνετον παραγραφῇ μνημονεύει. ἔστι δὲ καὶ πόλις ἐν Θρᾴκῃ, ἥν φησιν εἶναι τὴν ὑφ' Ὁμήρου Ἴσμαρον καλουμένην.

μ 223 Μαρωνεῖτις φυλή. καὶ γυνή. καὶ Μαρώνειος οἶνος.

μ 224 Μάρωνος: ὄνομα κύριον.

μ 225 Μάρπησσος: ὄνομα κύριον.

μ 226 Μάρσιππος: σάκκος, θυλάκιον, σακέλλιον. εἶδόν τινας ἐν πέτραις μαρσιππίους ἱματίων κατατιθεμένους. Ξενοφῶν.

μ 227 Μαρσύας, Περιάνδρου, Πελλαῖος, ἱστορικός. οὗτος δὲ ἦν πρότερον γραμματοδιδάσκαλος, καὶ ἀδελφὸς Ἀντιγόνου τοῦ μετὰ ταῦτα βασιλεύσαντος, σύντροφος δὲ Ἀλεξάνδρου τοῦ βασιλέως. ἔγραψε Μακεδονικὰ ἐν βιβλίοις δέκα· ἤρξατο δὲ ἀπὸ τοῦ πρώτου βασιλεύσαντος Μακεδόνων, καὶ μέχρι τῆς Ἀλεξάνδρου τοῦ Φιλίππου ἐπὶ τὴν Συρίαν ἐφόδου, μετὰ τὴν Ἀλεξανδρείας κτίσιν· Ἀττικὰ ἐν βιβλίοις ιβ′· καὶ αὐτοῦ Ἀλεξάνδρου ἀγωγήν.

μ 228 Μαρσύας, Κριτοφήμου, Φιλιππεύς, ἱστορικός, ὁ νεώτερος.

μ 229 Μαρσύας, Μάρσου, Ταβηνός, ἱστορικός. ἔγραψεν Ἀρχαιολογίαν ἐν βιβλίοις ιβ′, Μυθικὰ ἐν βιβλίοις ζ′, καὶ ἕτερά τινα περὶ τῆς ἰδίας πατρίδος.

μ 230 Μαρσύας· ἐν τοῖς χρόνοις τῶν Ἰουδαίων Κριτῶν καὶ Μαρσύας ἐγένετο σοφός, ὅστις ἐφεῦρε διὰ μουσικῆς αὐλοὺς ἀπὸ καλάμων καὶ χαλκοῦ· ὃς παραφρονήσας ἔρριψεν εἰς ποταμὸν ἑαυτὸν καὶ ἀπώλετο· καὶ ὠνομάσθη ὁ ποταμὸς Μαρσύας· περὶ οὗ μῦθος φέρεται, ὅτι ἑαυτὸν ἀποθεώσας ἀπώλετο. κατὰ δὲ τοὺς αὐτοὺς χρόνους ἐγένετο καὶ τὰ κατὰ Ἰάσονα καὶ τοὺς Ἀργοναύτας, ὡς Ἀπολλώνιος ὁ Ῥόδιός φησι. λέγεται μῦθος, ὅτι ἐξεδάρη ὑπὸ Ἀπόλλωνος. καὶ φέρεται λόγος περὶ Ὁρμίσδου τοῦ Πέρσου, ὃς ηὐτομόλησε πρὸς Κωνσταντῖνον τὸν μέγαν. ἐξελθὼν γὰρ ἐπὶ θήραν οὗτος καὶ εἰς τὰ βασίλεια ὑποστραφείς, τῶν κεκλημένων ἐπὶ τὸ δεῖπνον οὐκ ἐξαναστάντων κατὰ τὸ καθῆκον, ἠπείλησε τὸν Μαρσύου θάνατον αὐτοῖς ἐπιθήσειν. τοῦτο παρά τινος ἀκηκοότος ἀναμαθόντες οἱ τῶν Περσῶν μετὰ θάνατον τοῦ πατρὸς τὸν νεώτερον ἀναγορεύουσι βασιλέα· τὸν δὲ ἀποκλείουσιν ἐν εἱρκτῇ καὶ σιδήροις πεδοῦσιν· ὃν ἡ γαμετὴ διὰ τῆς τοῦ ἰχθύος μηχανῆς ῥίνην εἰσενεγκοῦσα ἐξήγαγε, καὶ ἀποδρὰς ἱκέτης πρὸς Κωνσταντῖνον ἔρχεται. ἡ ἱστορία δήλη.

μ 231 Μαρτῖνος: ὄνομα κύριον. καὶ Μαρτινιανός.

μ 232 Μάρτιος· ὅτι Μάρτιος Βῆρος τὸν Θουκυδίδην ἐκπέμπει καταγαγεῖν Σύαιμον εἰς Ἀρμενίαν· ὃς δέει τῶν ὅπλων καὶ τῇ οἰκείᾳ περὶ πάντα τὰ προσπίπτοντα εὐβουλίᾳ τοῦ πρόσω εἴχετο ἐρρωμένως. ἦν δὲ ἱκανὸς ὁ Μάρτιος οὐ μόνον ὅπλοις βιάσασθαι τοὺς ἀντιπολέμους ἢ ὀξύτητι προλαβεῖν ἢ ἀπάτῃ κατασοφίσασθαι, ἥπερ ἐστὶ στρατηγῶν ἀλκή, ἀλλὰ καὶ λόγῳ πιθανῷ πεῖσαι καὶ δωρεαῖς μεγαλόφροσιν οἰκειώσασθαι καὶ ἐλπίδι ἀγαθῇ δελεάσαι. χάρις τε ἦν ἐπὶ πᾶσι τοῖς πρασσομένοις ὑπ' αὐτοῦ καὶ λεγομένοις, τὸ μὲν ἀγανακτοῦν ἑκάστου καὶ τὸ θυμούμενον παραμυθουμένη, τὸ δὲ ἐλπίζον ἔτι μᾶλλον αὔξουσα. κολακείας τε δώρων καὶ τῆς παρὰ τραπέζαις δεξιώσεως καιρὸν ᾔδει. οἷς προσὸν τὸ πρὸς τὰς πράξεις σύντονον καὶ τὸ πρὸς τοὺς ἐχθροὺς σὺν ὀξύτητι δραστήριον, αἱρετώτερον ἐδείκνυε τοῖς βαρβάροις εἶναι τῆς φιλίας αὐτοῦ μᾶλλον ἢ τῆς ἔχθρας ἀντιποιεῖσθαι. ἀφικόμενος οὖν ἐς τὴν καινὴν πόλιν, ἣν φρουρὰ

Ῥωμαίων κατεῖχεν ἐκ Πρίσκου καταστᾶσα, νεωτερίζειν πειρωμένους λόγῳ τε καὶ ἔργῳ σωφρονίσας ἀπέφηνε πρώτην εἶναι τῆς Ἀρμενίας.

μ 233 Μαρτύρια. ζήτει ἐν τῷ δικαιώματα.

μ 234 Μαρτυρία· ὅτι ἐκμαρτυρία διαφέρει τῆς μαρτυρίας· ὅτι ἡ μὲν τῶν παρόντων μαρτυρίαν δηλοῖ, ἡ δὲ ἐκμαρτυρία τῶν ἀπόντων.

μ 235 Μαρτύριον: σκηνή· ὡς ἔχουσα τὰς πλάκας τοῦ νόμου. τὸν γὰρ νόμον ἐντολὰς ἐκάλουν καὶ μαρτύρια καὶ δικαιώματα.

μ 236 Μαρτύρομαι: μάρτυρας καλῶ. Σοφοκλῆς· μαρτύρομαι τούσδ’, οὐ σέ· πρὸς δὲ τοὺς φίλους οἷ’ ἀνταμείβῃ ῥήματ’, ἤν σε ἕλω ποτέ. Κρέων φησὶ πρὸς Οἰδίπουν. καὶ Αἰλιανός· ἀλλὰ τοσοῦτον μαρτυρόμεθ’, ὡς οὔτ’ ἀδικοῦμεν Ξενίου Διὸς χάριν. μαρτύρομαί σοι χελιδόνα. ἴσον τῷ ἀποδείκνυμι. ἄκουσον λαός μου, καὶ λαλήσω σοι Ἰσραήλ, καὶ διαμαρτύρομαί σοι. διὰ τοῦ ο μικροῦ. οἱ δὲ διὰ τοῦ ω μεγάλου.

μ 237 Μαρτύρονται: ὅταν ἀντὶ τοῦ μαρτυρίαν ἐπάγωνται ἢ παρέχωνται. Πλάτων Πολιτείας β′· τὸν Ὅμηρον μαρτύρονται.

μ 238 Μαρτυρῶ· δοτικῇ. αἰτιατικῇ δέ. καὶ Διόφαντον ἐν ὑμῖν ἀπήγγειλα, ἃ νῦν μαρτυρεῖν αὐτὸν ἀναγκάσω.

μ 239 Μάρτυροι: παρ’ Ὁμήρῳ. ἀπὸ τῆς μάρτυρος εὐθείας.

μ 240 Μάρψῃ: συλλάβῃ, διαχρήσηται. ἀλλ’ ὁπόταν μάρψῃ βυρσαίετος ἀγκυλοχείλης.

μ 241 Μαρψίας: ὄνομα κύριον. ἦν δὲ ῥήτωρ φλύαρος καὶ θορυβώδης. Ἀριστοφάνης· πρὸς τάδε τίς ἀντερεῖ Μαρψίας;

μ 242 Μασσαλία· Ἰσοκράτης φησὶν ἐν Ἀρχιδάμῳ, ὡς Φωκαεῖς φυγόντες τὴν τοῦ μεγάλου βασιλέως δεσποτείαν εἰς Μασσαλίαν ἀπῴκησαν. μαρτυρεῖ δὲ τῷ λόγῳ καὶ Ἀριστοτέλης.

μ 243 Μασαισύλιον: ἔθνος.

μ 244 Μασσανάσσης, ὁ τῶν Νομάδων βασιλεύς, ἀνὴρ ἦν ἐς πάντα ἐπιτυχής, ᾧ τὴν μὲν ἀρχὴν τὴν πατρῴαν θεὸς ἔδωκεν ἀφαιρεθέντι πρὸς Καρχηδονίων καὶ Σύφακος ἀναλαβεῖν καὶ προαγαγεῖν ἐπὶ μέγιστον, ἀπὸ Μαυρουσίων τῶν παρ’ ὠκεανῷ μέχρι τῆς Κυρηναίων ἀρχῆς ἐς τὰ μεσόγεια, ἡμερῶσαι δὲ γῆν πολλήν, τὰ πολλὰ τῶν Νομάδων διὰ τὸ ἀγεώργητον τῶν φαγούντων, θησαυρούς τε μεγάλους χρημάτων καταλιπεῖν, καὶ στρατιὰν πολλὴν γεγυμνασμένην, τῶν δὲ ἐχθρῶν Σύφακα μὲν αἰχμάλωτον ἑλεῖν αὐτοχειρί, Καρχηδόνι δ’ αἴτιον τῆς ἀναστάσεως γενέσθαι, πάμπαν αὐτὴν ἀσθενῆ Ῥωμαίοις ὑπολιπόντα. ἔφυ δὲ καὶ τὸ σῶμα μέγας τε καὶ εὔρωστος ἐς γῆρας πολύ, καὶ μέχρι τοῦ θανάτου, ἵππου τε χωρὶς ἀναβολέως ἐπέβαινε. καὶ μεγίστῳ δὴ τῷδε τεκμηριώσω μάλιστα τὴν εὐρωστίαν αὐτοῦ· πολλῶν γὰρ αὐτῷ παίδων γινομένων τε καὶ ἀποθνησκόντων, οὔποτε μὲν ἦσαν αὐτῷ μείους ι′· τετραετὲς δὲ παιδίον ἐνενηκοντούτης ἀπέλιπε. καὶ ὧδε μὲν χρόνου τε καὶ σώματος ἔχων ἐτεθνήκει.

μ 245 Μασσανάσσης, ὁ ἐν Λιβύῃ τῶν Νομάδων βασιλεύς, ἀνὴρ τῶν καθ’ ἡμᾶς βασιλέων ἄριστος καὶ μακαριώτατος· ὃς ἐβασίλευσεν ἔτη πλείω τῶν ξ′, ὑγιεινότατος ὢν καὶ πολυχρονιώτατος· ϟ′ γὰρ ἐτῶν ἐγεγόνει. ἐγένετο δὲ καὶ δυναμικώτατος τῶν καθ’ ἑαυτὸν κατὰ τὴν σωματικὴν ἕξιν, ὃς ὅτε μεταστῆναι δέοι, στὰς ἐν τοῖς αὐτοῖς ἴχνεσι δι’ ἡμέρας ἔμενε, καθεζόμενος πάλιν οὐκ ἠγείρετο. καὶ τὴν ἐπὶ τῶν ἵππων κακοπάθειαν ἡμέραν καὶ νύκτα διακαρτερῶν οὐδὲν ἔπασχε. σημεῖον δὲ τῆς σωματικῆς αὐτοῦ δυνάμεως· ἔχων ϟ′ ἔτη, καθ’ ὃν καιρὸν μετήλλαξε τὸν βίον, υἱὸν ἀπέλιπε δ′ ἐτῶν, ὄνομα Σθεμβάν, ὃν μετὰ ταῦτα Μικίψης υἱοποιήσατο, πρὸς δὲ τούτοις υἱοὺς δ′. διὰ δὲ τὴν πρὸς ἀλλήλους τούτων εὔνοιαν διετήρησε τὸν ὅλον βίον πάσης ἐπιβουλῆς καὶ παντὸς οἰκείου μιάσματος ἄμοιρον αὐτοῦ γενέσθαι τὴν βασιλείαν· τὸ δὲ μέγιστον, τῆς

Νουμαδίας ἁπάσης ἀχρήστου τὸν πρὸ τοῦ χρόνον ὑπαρχούσης καὶ νομιζομένης ἀδυνάτου φύσει πρὸς ἡμέρους καρποὺς ὑπάρχειν, πρῶτος καὶ μόνος ὑπέδειξεν ὅτι δύναται ἐκφέρειν πάντας τοὺς ἡμέρους καρποὺς οὐδ’ ὁποίας ἧττον, ἑκάστῳ τῶν καρπῶν ἐν διαστάσει μυριοπληθεῖς ἀγροὺς κατασκευάσας παμφόρους.

μ 246 Μασαισύλιον: ἔθνος.

μ 247 Μάσσει: φυρᾷ, ζυμοῖ.

μ 248 Μάσθλης: ἰδίως ὁ μεμαλαγμένος λῶρος καὶ ἔκλυτος. μάσθλης οὖν ἐνταῦθα ὁ πολυγνώμων καὶ ἔκλυτος καὶ μηδὲν βέβαιον μηδὲ σταθερὸν γινώσκων. ἢ ὁ ἱμαντώδης καὶ μαστιγίας. ἀπὸ μεταφορᾶς τοῦ μεμαλαγμένου ἱμάντος. ἢ οὕτως εὔτονος, ὡς ἱμάς.

μ 249 Μάσθλης ἄνθρωπος: ὁ μεμαλαγμένος καὶ ἐντριβὴς ταῖς πονηρίαις. τὸ αὐτὸ δηλοῖ καὶ τὸ γλοιός.

μ 250 Μασθὸς καὶ Μαστός: κυρίως ἐπὶ γυναικός, καταχρηστικῶς δὲ καὶ ἐπὶ ἀνδρός. τὸ μὲν μασθὸς ἀπὸ τοῦ θῶ, τὸ θηλάζω· τὸ δὲ μαστὸς διὰ τὸ μεστὸς εἶναι γάλακτος. καὶ ζήτει ἐν τῷ μαζός.

μ 251 Μᾶσσον: μεῖζον, μακρότερον. ἐπιπρὸ δὲ μᾶσσον ἐπ’ ἄκρου Αἰγαλέω θυμόεντος, ἄγων μέγαν ὑετόν, ἔστη.

μ 252 Μασώμενος: β′ συζυγίας τῶν περισπωμένων. ἀπὸ τοῦ μασῶ, μασᾷς· ὡς γελῶ, γελᾷς. παρὰ Ἀριστοφάνει ἐν Πλούτῳ.

μ 253 Μάσσων: μακροτέρα. Ξενοφῶν· ἂν μὴ πολὺ μάσσων ὁδὸς ᾖ.

μ 254 Μάσσωνος.

μ 255 Μάστακα: μάσημα, τροφήν. λέγεται καὶ τὸ στόμα καὶ τὸ μάσημα ὁμωνύμως, ὡς χοίνικα καὶ τὸ μέτρον καὶ τὸ μετρούμενον.

μ 256 Μασταρύζει: συνέλκει καὶ συνάγει τὰ χείλη. ἀπὸ μεταφορᾶς τῶν ὑποτιτθίων παιδίων, ἃ τὸν μαστὸν ἕλκοντα τῷ στόματι, συνάγει τὰ χείλη. Ἀριστοφάνης· ὁ δ’ ὑπὸ γήρως μασταρύζει.

μ 257 Μαστεύων: ἐπιζητῶν. ἀλλὰ πλέον τι εἰδέναι καὶ σπεύδων καὶ μαστεύων ὑφ’ ἡγεμόνι θεῷ.

μ 258 Μάστειρα· ἐν η′ Φιλιππικῶν Δημοσθένης· τῶν μὲν ἐν Θρᾴκη κακῶν· τίς γὰρ ἂν ἄλλο τις εἴποι Δρογγίλον καὶ Καβύλην καὶ Μάστειραν; μήποτε δὲ γραπτέον ἀντὶ τοῦ Μάστειραν Βάστειραν ἢ Πίστειραν ἢ Ἐπίμαστον. ταύτας δὲ τὰς πολιτείας εὑρίσκομεν παρ’ Ἀναξιμένει ἐν ζ′ τῶν περὶ Φίλιππον, τὴν δὲ Μάστειραν οὐδαμοῦ.

μ 259 Μάστειρες: ἀρχή τις ἀποδεδειγμένη ἐπὶ τῷ ζητεῖν τὰ κοινὰ τοῦ δήμου, ὡς οἱ ζητηταὶ καὶ οἱ ἐν Πέλλῃ Μαστροί.

μ 260 Μάστι: κατὰ ἀποκοπὴν μάστιγι.

μ 261 Μαστιγίας: δοῦλος ὁ δι’ ἁμάρτημα μαστιζόμενος.

μ 262 Μαστιγίας ἐκ Μελίτης: δοῦλος ὁ Ἡρακλῆς, ἀπὸ Μελίτης νύμφης. καὶ Μελίτη, δῆμος τῆς Ἀττικῆς.

μ 263 Μαστιγῶ· αἰτιατικῇ.

μ 264 Μαστιγώσιμος: μαστίγων ἄξιος.

μ 265 Μάστιε: μάστιζε.

μ 266 Μάστιξ: δι’ ἧς τὸν ἵππον πλήττομεν. ἐν Ἐπιγράμμασι· καὶ νεκύων σφίγκτορ’ εὐρραφέα μάστιγα.

μ 267 Μαστίχη: εἶδος μυρεψικοῦ. καὶ Μαστίχιον ὁμοίως.

μ 268 Μαστιχῖνος.

μ 269

Μαστός: ἀκρώρεια, ἐξοχὴ ὄρους. ἦν γὰρ ἐν δεξιᾷ τοῦ φρουρίου μαστός· τοῦτον, εἰ καταληφθείη, πρὸς πολλὰ οἰόμενος ἐν ὑστέρῳ χρήσιμον ἔσεσθαι. μαστὸς ἦν ὑπὲρ αὐτῶν, παρ' ὃν ἦν ἡ στενὴ ὁδός.

μ 270 Μαστροπεύω. Μαστροπεία. μαστροπεύοντες οἱ βασιλικοὶ τοῦ Ζήνωνος υἱῷ τοὺς συνήβους πρὸς τοὺς τῶν ἀρρένων ἔρωτας λυσσᾶν ἐξεπαίδευσαν ἐκτόπως.

μ 271 Μαστροπός: μαυλιστής, πορνοβοσκός.

μ 272 Μαστρίλλιον: τόπος ἔνθα οἱ μαστροποὶ διέτριβον.

μ 273 Μασχάλην αἴρεις: ἀντὶ τοῦ κωθωνισθήσῃ. οἱ γὰρ μεθύοντες ᾖρον τὰς μασχάλας καταμωκώμενοι. καὶ οἱ μνηστῆρες χεῖρας ἀνίσχοντες γέλῳ ἔκθανον. καί, χεῖρας ἀνασχόμενοι μεγαλ' εὐχετόωντο ἕκαστος.

μ 274 Μασχαλισθῆναι: εἰώθασι τῶν ἀναιρουμένων εἰς τὰς κεφαλὰς ἀπομάσσειν τὰ ξίφη, ὥσπερ ἀποτροπιαζόμενοι τὸ μύσος τὸ ἐν τῷ φόνῳ. ἢ ὅτι ἐπὶ ταῖς καθάρσεσι τοῦ φονευθέντος τὰ ἄκρα ἔτεμνον καὶ περὶ τὴν μασχάλην αὐτοῦ ἐκρέμαζον αὐτά, ἵνα, φησίν, ἀσθενὴς γένοιτο πρὸς τὸ ἀντιτίσασθαι τὸν φονέα. καὶ Ἀπολλώνιος· ἐξάργματα τέμνες θανόντος. περὶ τοῦ Ἰάσονος. ἢ ὅτι οἱ δρῶντες ἐμφύλιον πόλεμον ἠκρωτηρίαζον τοὺς ἀναιρεθέντας, ἐκ παντὸς μέρους τοῦ σώματος ἀποτεμνόμενοι, καὶ περιῆπτον ἑαυτοῖς, τὰ ἄκρα συνείροντες, διὰ τούτων ὥσπερ τὴν δύναμιν ἐκείνων ἀφαιρούμενοι, διὰ τὸ μὴ παθεῖν εἰς ὕστερόν τι δεινὸν παρ' ἐκείνων. ἐφόρουν δὲ εἰς τὰς μασχάλας τὰ ἄκρα· ὃ μασχαλισθῆναι ἔλεγον. Σοφοκλῆς· σκέψαι γάρ, εἴ σοι προσφιλῶς αὐτῇ δοκεῖ γέρα τάδ' ὀὐν τάφοισι δέξασθαι νέκυς, ὑφ' ἧς θανὼν ἄτιμος, ὥστε δυσμενὴς ἐμασχαλίσθη, κἀπὶ λουτροῖσι κάρα κηλῖδας ἐξέμαξε. περὶ τοῦ Ἀγαμέμνονος.

μ 275 Μασχαλίσματα: Ἀριστοφάνης παρὰ Σοφοκλεῖ ἐν Ἠλέκτρᾳ κεῖσθαι τὴν λέξιν, ἔθος σημαίνουσαν. οἱ γὰρ φονεύσαντες ἐξ ἐπιβουλῆς τινας ὑπὲρ τοῦ τὴν μῆνιν ἐκκλίνειν ἀκρωτηριάσαντες μόρια τούτου καὶ ὁρμαθίσαντες ἐξεκρέμασαν τοῦ τραχήλου διὰ τῶν μασχαλῶν διείραντες, καὶ μασχαλίσματα προσηγόρευσαν. σημαίνει δὲ ἡ λέξις καὶ τὰ τοῖς μηροῖς ἐπιτιθέμενα ἀπὸ τῶν ὤμων κρέα ἐν ταῖς τῶν θεῶν θυσίαις.

μ 276 Ματαΐζων. ματαίως ζῶν, ματαίως φρονῶν. καὶ Ματαΐσαι ὁμοίως. εὕρηται παρὰ τῷ Λουκιανῷ ματαΐζω.

μ 277 Μὰ τὰ λάχανα: σημεῖον τοῦτο περὶ ὅρκου· ὃ καὶ νῦν ἐπιχωριάζει· πολλοὶ γὰρ πρὸς λάχανα ὀμνύουσιν εὐορκίαν ἐπιδεικνύμενοι. ἐπιχωριάζει δ' εἰσέτι καὶ τοῖς ἐλλογίμοις Ἀρμενιακοῖς τό, μὰ τὰ καλά.

μ 278 Μάταιον. Μάτην, ματαίως. Μάτην, ἄλλως. Ἴωνες.

μ 279 Ματηρεύειν: ματαίως ζῆν.

μ 280 Ματήσετον. ἀμελήσουσι.

μ 281 Ματθαῖος: ὄνομα κύριον. ὅτι ὁ εὐαγγελιστὴς Ματθαῖος ἔχει τίτλους ξη', κεφάλαια τνε'.

μ 282 Ματθίας: ὄνομα κύριον. ἦν δὲ ἱερεὺς Ἱερουσαλήμ. καὶ ζήτει ἐν τῷ Ἀντίοχος.

μ 283 Ματία.

μ 284 Ματιολοιχός: ὁ περὶ τὰ μικρὰ πανοῦργος, καὶ λίχνος. μάτιον γὰρ ὡς βέλτιον τῷ τόνῳ, τὸ μικρόν. ἢ ὁ μικροφάγος, ἐπεὶ μάτιον τὸ ἐλάχιστόν φασιν. ἢ ὁ μάταια βουλευόμενος, καὶ λοχῶν, ἢ ὁ κρουσιμέτρης· μάτιον γὰρ εἶδος μέτρου. ὀξυτόνως δὲ ἀναγνωστέον, ὥς φησιν Ἡρωδιανός.

μ 285 Μάτιον: εἶδος μέτρου· ἢ τὸ ἐλάχιστον.

μ 286

Ματρέας· οὗτος λαοπλάνος ἦν. ἔτρεφε δὲ θηρίον, ὃ αὐτὸ ἑαυτὸ κατήσθιε· καὶ ζητεῖται, τί τὸ τοῦ Ματρέου θηρίον. ἐποίησε δ’ οὗτος καὶ παρὰ τὰς Ἀριστοτέλους ἀπορίας· διὰ τί ὁ ἥλιος δύει μέν, κολυμβᾷ δ’ οὔ.

μ 287 Ματρίκιον.

μ 288 Μάτρις: ὄνομα κύριον.

μ 289 Μάτρωνος: ὄνομα κύριον.

μ 290 Ματρυλεῖον: τόπον τινά φασιν εἶναι, ἐν ᾧ γρᾶες διατρίβουσαι δέχονται τοὺς βουλομένους καταμεθυσθῆναι. Μένανδρος Ἐπιτρέπουσιν· οὐκ οἰμώξεται κατὰ τρεῖς ἐν ματρυλείῳ τὸν βίον.

μ 291 Μάττοντας: ἐσθίοντας πολλά. ἀπὸ τῆς ματτομένης μάζης. Ἀριστοφάνης· τούς θ’ Ἡρακλέας μάττοντας. αἰνίττεται δὲ ταῦτα εἰς Εὐριπίδην, ὃς ἐποίησεν Ἡρακλέα πεινῶντα καὶ Διόνυσον δειλὸν καὶ Δία μοιχὸν καὶ δοῦλον κλαίοντα.

μ 292 Μὰ τόν: ἐλλειπτικῶς ὀμνύει· καὶ οὕτως ἔθος ἐστὶ τοῖς ἀρχαίοις ἐνίοτε μὴ προστιθέναι τὸν θεόν. εἰώθεισαν γὰρ τοῖς τοιούτοις ὅρκοις χρῆσθαι ἐνευφημιζόμενοι, ὥστε εἰπεῖν μὲν μὰ τόν, ὄνομα δὲ μηκέτι προσθεῖναι. καὶ Πλάτωνα δὲ τῷ τοιούτῳ κεχρῆσθαι.

μ 293 Μαυλίας: τὰς μαχαίρας ἐκάλουν διὰ τὸ ὁμοῦ αὐλίζεσθαι, οἷον ὁμαυλίας.

μ 294 Μαυρίκιος, ὁ βασιλεὺς Ῥωμαίων. ὅτι λέγεται περὶ Μαυρικίου φιλοτίμως ἔχειν περὶ τὴν τῶν λόγων μεγαλοπρέπειαν τιμᾶν τε λίαν λαμπρῶς τοὺς ἐνηθληκότας περὶ τὰ κάλλιστα τῶν μαθημάτων. ἀναφέρεται δὲ καὶ τὴν τρίτην μοῖραν τῶν φόρων συγχωρῆσαι τοῖς ὑπηκόοις τὸν Μαυρίκιον. οὗτος δὲ προχειρίζεται στρατηγὸς τῆς ἑῴας ὑπὸ Τιβερίου Καίσαρος. ὃς Μαυρίκιος ἐν πολέμοις μὲν καὶ ἀγῶσιν οὐκ ἐντεθραμμένος, ἔμφρων δὲ ἄλλως καὶ ἐμβριθὴς καὶ κατηκριβωμένος, ξυγκεράσας τε ἐν ἑαυτῷ ἄμφω τὰ ἐναντίως ἔχοντα ἀλλήλοις, ὄγκον φρονήματος καὶ πραότητα, πάσης ὑπεροψίας τε καὶ ὀφρύος ἐλεύθερα. τοιοῦτον δή τινα τὸν Μαυρίκιον ὄντα ἡ τῶν πραγμάτων ἡγεμονία παραλαβοῦσα ἀνέδειξέ πως εὐκλεέστερον τῇ πείρᾳ.

μ 295 Μαῦρον: τὸ ἀμαυρόν, καὶ ἀσθενές.

μ 296 Μαῦρος: μωρός.

μ 297 Μαυροῦσιν: ἀφανίζουσι.

μ 298 Μαρούσιοι: ἔθνος, ἀπρόσμαχοι τοῖς ἐκείνῃ βαρβάροις ὑπὸ τόλμης τε καὶ ὀξύτητος καὶ τοῦ μεμελετηκέναι ἐπελαύνειν τε ἀθρόους, ὅπου παρείξειε, κἀποφεύγειν εὐπετῶς καὶ ξυναυλίζεσθαι αὖθις ἐκ τῆς φυγῆς, ὡς ὑποστρέψαντας ἐμβαλεῖν εἰς τοὺς ἀπρονοήτως τε καὶ οὐκ ἐν τάξει διώκοντας. εἰ δὲ καὶ πταῖσμα τι γίγνοιτο, οὐκ ἐν στρατιᾷ Ῥωμαίων κινδυνεύσειν, ἀλλ’ ἐν ξυμμαχίᾳ τε καὶ ταύτῃ βαρβάρων.

μ 299 Μαύσωλος, ἄρχων Καρῶν. φησὶ δὲ αὐτὸν Θεόπομπος μηδενὸς ἀπέχεσθαι πράγματος χρημάτων ἕνεκα.

μ 300 Μαχάονος. Μαχάων, ὄνομα ἰατροῦ· καὶ Χείρων, ὁ κένταυρος. διεψιθύριζον δὲ ὡς ἑαυτοὺς οἱ Χείρωνος καὶ Μαχάονος τεχνώμενοι μελετήματα, ὡς συνεκδημήσει αὐτῷ καὶ ἡ ψυχὴ τῇ τοῦ βέλους ἐξόδῳ.

μ 301 Μαχάτας: ὄνομα κύριον.

μ 302 Μάχαιρα: ἡ σπάθη. οἱ Κελτίβηρες τῇ κατασκευῇ τῶν μαχαιρῶν πολὺ διαφέρουσι τῶν ἄλλων· καὶ γὰρ κέντημα πρακτικὸν καὶ καταφορὰν ἔχει δυναμένην ἐξ ἀμφοῖν τοῖν χεροῖν. ᾗ καὶ Ῥωμαῖοι τὰς πατρίους ἀποθέμενοι μαχαίρας ἐκ τῶν κατ’ Ἀννίβαν, μετέλαβον τὰς τῶν Ἰβήρων, καὶ τὴν μὲν κατασκευὴν μετέλαβον, αὐτὴν δὲ τὴν χρηστότητα τοῦ σιδήρου καὶ τὴν ἄλλην

ἐπιμέλειαν οὐδαμῶς δύνανται μιμεῖσθαι. λύσις ὀνείρου Νικηφόρου πατριάρχου· μάχην μάχαιρα ζωγραφεῖ κρατουμένη. συνθλᾶν μαχαίρας δυσμενῶν δηλοῖ θλάσιν.

μ 303 Μαχέσθων ὡς τεθναξόμενοι, καὶ οὐ τεθνάξονται. ζήτει ἐν τῷ ἀποθνήσκοντας.

μ 304 Μάχιμος: ὁ γενναῖος. εἰδώς με μάχιμον ὄντα καὶ φιλοτιμούμενος.

μ 305 Μαχλάδας: πόρνας.

μ 306 Μάχλος: ἀσελγής, ἄσωτος. παρὰ τὸ κλῶ, κλός, καὶ πλεονασμῷ τῆς μα συλλαβῆς μάκλος, καὶ τροπῇ μάχλος. αὕτη τὸ πρότερον μάχλον τινα βιώσασα βίον καὶ τὸν τρόπον ἐξερρωγυῖα φαρμακεῦσί τε πατρῴοις πολλὰ ὡμιληκυῖα.

μ 307 Μαχλοσύνη: κατωφέρεια, γυναικομανία. Ἡσιόδειος ἡ λέξις· λέγει γὰρ περὶ τῶν Προίτου θυγατέρων, εἵνεκα μαχλοσύνης στυγερῆς τέρεν ὤλεσεν ἄνθος.

μ 308 Μαχλῶντες: πορνεύοντες.

μ 309 Μάχομαι· δοτικῇ.

μ 310 Μαχόμενον: ἐναντίον τῷ ἀκόλουθον· τουτέστιν ὃ ἀναγκαῖον μὴ εἶναι.

μ 311 Μάψ: ματαίως.

μ 312 Μαψίδιον: μάταιον, δαψιλές, χαλεπόν, πολύ, δεινόν, ἑκούσιον. καὶ Μαψιδίως ὁμοίως.

μ 313 Μαῖα: ἡ μάμμη, ἡ τροφός. καὶ σὺ πέτρα γλωχὶν μηλοσσόε Μαιάδος Ἑρμᾶ. ἀντὶ τοῦ τροφοῦ, μητρός.

μ 314 Μαίανδρος: ποταμὸς Λυδίας. ἐν Ἐπιγράμμασι· ἔκτανε Μαιάνδρου πὰρ τριέλικτον ὕδωρ. καὶ Μαιάνδριον ὕδωρ καὶ πεδίον.

μ 315 Μαιεύεται· Πισίδης· μαιεύεται δὲ πᾶν τὸ τῆς Ῥώμης γένος, τοὺς σοὺς ἐπαίνους ἐκπιέζον ὡς γάλα.

μ 316 Μαιευομένην: ἀντὶ τοῦ νεοττοτροφοῦσαν. εὗρον γυναῖκα ὄρνιθας μαιευομένην.

μ 317 Μαιευόμενοι: ζητοῦντες, ἐρευνῶντες.

μ 318 Μαιευτικῆς: ἰατρικῆς.

μ 319 Μαιεύτρια.

μ 320 Μαιεία: ἡ μαίευσις.

μ 321 Μαικήνας: ὄνομα κύριον. ἐν τῷ συνδείπνῳ τοῦ Μαικήνα τράπεζα ἐγγώνιος ἦν. ἀντὶ τοῦ οὐ στρογγύλη, οὐδὲ περιφερής. Πλούταρχος. καὶ ζήτει ἐν τῷ ἐγγώνιος τράπεζα.

μ 322 Μαιμακτηριών: ὁ πέμπτος μὴν παρ᾽ Ἀθηναίοις. ὁ Ἰαννουάριος. ὠνομάσθη δὲ ἀπὸ Διὸς Μαιμάκτου. Μαιμάκτης δέ ἐστιν ὁ ἐνθουσιώδης καὶ ταρακτικός. ἀρχὴν δὲ λαμβάνοντος τοῦ χειμῶνος ἐν τούτῳ τῷ μηνί, ὁ ἀὴρ ταράττεται καὶ μεταβολὴν ἴσχει.

μ 323 Μαιμάκτης: ὁ ἐνθουσιώδης καὶ ταρακτικός.

μ 324 Μαιμαλίδης.

μ 325 Μαιμάσσει: σφύζει, προθυμεῖ. καταδαπανᾶται, καταναλίσκεται. κυματοῦται, πηδᾷ, καχλάζει, κλονεῖται.

μ 326 Μαιμάχης.

μ 327 Μαιμόωσα καὶ Μαιμῶσα: ἐνθουσιῶσα καὶ ὀξέως ὁρμῶσα, ἡ τοῦ αἵματος γευστικῶς ἔχουσα, τοῦ μ πλεονάζοντος. καὶ Σοφοκλῆς ἐπὶ τοῦ διψῶσαν· καὶ πῶς ἐπέσχε χεῖρα μαιμῶσαν φόνου; καὶ αὖθις· δεινὸν μαιμώσαις ἐγκονέουσα κυσί.

μ 328 Μαινάδας: μαινομένας, ζητούσας βακχεύειν, παραφόρους. καὶ Ἀριστοφάνης· μισῶ τἄνδρ᾽ ἐκεῖνον, εἰ μὴ μαίνομαι.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μ 329 Μαιναλία ἔλαφος. καὶ Μαιναλίων, ὁρμητικῶν. ἐν Ἐπιγράμμασι· ἄγκεινται κεφαλαὶ Μαιναλίων ἐλάφων.

μ 330 Μαίναλος: ὄνομα κύριον.

μ 331 Μαινάς: Βάκχη.

μ 332 Μαίνεται: ὀργίζεται.

μ 333 Μαινίς, μαινίδος: εἶδος ἰχθύος. ἀφύας. καὶ ζήτει ἐν τῷ ἀφύα.

μ 334 Μαινόλης: μανικός. μαινόμενος.

μ 335 Μαίνουρος: εἶδος ἰχθύος.

μ 336 Μαίνω: ἐνθουσιωδῶς κινοῦμαι.

μ 337 Μαιονίδας: ὁ Ὅμηρος. εἰ δ’ ἑάλως, συγγνωστόν· ἐπεὶ καὶ κοίρανος ὕμνων Μαιονίδας γρίφων ἰχθυβόλων ἔθανε. τὰν ἴσα Μούσαις φθεγξαμέναν κεφαλάν, ὦ ξένε, Μαιονίδεω.

μ 338 Μαίονος: ὄνομα κύριον.

μ 339 Μαιοτάλιμνος: ὄνομα τόπου.

μ 340 Μαιόταλμος: ποταμός.

μ 341 Μαιωθήσονται: λοχευθήσονται, γεννηθήσονται, θεραπευθήσονται.

μ 342 Μαιωτικὴ χώρα.

μ 343 Μαιώρεις: οἱ πρεσβύται.

μ 344 Μαιῶτις: λίμνη Σκυθίας.

μ 345 Μαίωτρα, μαιώτρων.

μ 346 Μαῖρα: ὄνομα κύριον.

μ 347 Μεσσαύλιος: ὁ μέσος τόπος τῆς αὐλῆς.

μ 348 Μέγα: ἀντὶ τοῦ μεγάλως. Ἀριστοφάνης Νεφέλαις· τοῦτο μέγα φροντίζετε.

μ 349 Μεγά: πολύ. οἱ δὲ μέγα δείσαντες ἐπ’ αὐτῷ διαβοῶσι τὸν κίνδυνον ὅλῳ τῷ τάγματι. καὶ Αἰλιανός· ὀλίγου χρόνου διελθόντος, ἑάλω μέγα κακουργῶν· εἶτα μέντοι ἐν ὄψει πολλῶν κατεπρήσθη ζῶν. ἀντὶ τοῦ ἐκαύθη. καὶ πάρδαλιν τοῦ αὐτοῦ μέγα τιμίαν διάλιθον. καὶ αὖθις· γυνὴ εὐπάτωρ ἄνθρωπος καὶ μέγα πλουσία.

μ 350 Μεγάβυζος: ὄνομα κύριον.

μ 351 Μεγάθυμος: μεγαλόψυχος.

μ 352 Μέγα καὶ Μικρὸν περὶ τὴν ἀκοὴν λέγεται· λέγεται δὲ καὶ ἐπὶ τῶν ψόφων. καὶ τὸ μὲν ἐν ψόφοις μέγα καὶ μικρὸν ἡ ἀκοὴ μόνη δύναται διακρῖναι, τὸ δὲ ἐν σώμασι τὸ συνεχὲς ἡ ἀφὴ καὶ ἡ γεῦσις διακρίνουσιν. ὅτε δὲ λέγομεν λευκὴν φωνὴν ἢ μέλαιναν, κατὰ ἀναλογίαν καὶ ὁμοιότητα τὴν ἀπὸ τῶν χρωμάτων φαμέν. καὶ τοῦ μὲν ἐν ψόφοις μέγα καὶ μικρὸν οὐκ ἔστιν ἑτέρα τις ἀντίθεσις παρὰ τὸν ὀξὺν καὶ βαρὺν φθόγγον, ὥσπερ ἐπὶ τῆς ἁφῆς παρὰ τὸ θερμὸν καὶ ψυχρὸν ἑτέρα παντελῶς ἀντίθεσις τὸ βαρὺ καὶ κοῦφον ἢ τραχὺ καὶ λεῖον καὶ τῶν ἄλλων ἑκάστη, ἀλλὰ τὴν ἄνεσιν ἢ τὴν ἐπίτασιν δηλοῖ τῶν ψόφων· τοῦτο δὲ οὐκ ἔστιν ἑτέρας ἀντιθέσεως ἴδιον. τὸ τοιοῦτο γοῦν μέγα καὶ μικρὸν εὑρεῖν ἐστίν, οἷον τὸν μὲν τοῦ μέλιτος, εἰ τύχοι, μέγαν, τὸν δὲ τῆς ἰσχάδος μικρόν, ὅτι ἐπιτέταται ἡ γλυκύτης ἐν τῷ μέλιτι, ἀνεῖται δὲ ἐν τῇ ἰσχάδι. ἀλλὰ καὶ τὸ μέλαν χρῶμα τὸ μὲν κατακορὲς εἴποι τις μέγα, τὸ δὲ μὴ οὕτως ἔχον ἀλλ’ ὑφειμένον μικρόν, τὸ σφοδρὸν ἁπλῶς καὶ ἀμυδρὸν τῇ τοῦ μεγάλου καὶ μικροῦ φωνῇ ὀνομάζων. ζητῆσαι δὲ ἄξιον τί δήποτε ἐπὶ μόνων τῶν μεγεθῶν λεγομένου τοῦ μεγάλου καὶ μικροῦ ἐπὶ μόνων τῶν σφοδρῶν ψόφων καὶ ἀμυδρῶν τῇ μεταφορᾷ οἰκείως ἐχρησάμεθα, μέγαν ψόφον λέγοντες καὶ

μικρόν, οὐ μέντοι μέγα γλυκὺ τὸ ἄγαν γλυκύ, οὐδὲ μικρὸν τὸ ἀμυδρὰν ἔχον τὴν γλυκύτητα, οὐδὲ ἐπ’ ἄλλου οὐδενός. φημὶ οὖν, ὅτι ὁ ψόφος οὐκ ἔστιν ὑφεστηκός τι ἀθρόον πρᾶγμα, ἀλλ’ ἐν τῷ γίνεσθαι ὑφέστηκε· γίνεται δὲ ἐν χρόνῳ, πᾶς δὲ χρόνος συνεχής. διὰ τοῦτο τὸν ἐν πολλῷ χρόνῳ γενόμενον ψόφον μέγαν φαμέν, μικρὸν δὲ τὸν ἐν ὀλίγῳ. τὸ δὲ ἄγαν γλυκὺ καὶ ἄγαν μέλαν καὶ ἐπὶ τῶν ἄλλων τῷ σφοδρῷ τῆς ποιότητος τοιαῦτά ἐστιν, οὐ τῷ μήκει τοῦ χρόνου.

μ 353 Μεγακήτης: ὁ μέγας.

μ 354 Μεγακλέους κίονας· ἀλλ’ ἔσθι’ ἐλθὼν τοὺς Μεγακλέους κίονας.

μ 355 Μεγαλαυχούμενοι: κατεπαιρόμενοι. ἔτι μεγαλαυχούμενοι ἐπὶ τοῖς πραττομένοις θερμότατα ἄγειν τὸ δεύτερον ἐπὶ τοὺς πολεμίους.

μ 356 Μεγαλεπήβολος: ὁ μεγάλων πραγμάτων καταρχόμενος. ἐδόκει γὰρ ὁ βασιλεὺς οὗτος μεγαλεπήβολος καὶ τολμηρὸς εἶναι καὶ τοῦ προτεθέντος ἐξεργαστικός.

μ 357 Μεγαλεῖα: ὑψηλά, μεγάλα. ἃ ἐποίησάς μοι μεγαλεῖα ὁ θεός.

μ 358 Μεγαλεῖον μύρον: ἀπὸ τοῦ εὑρομένου τὴν κατασκευὴν αὐτοῦ Μεγάλου Σικελιώτου.

μ 359 Μεγαλεῖον· ὁ δὲ ἐτεθήπει αὐτοῦ τὴν μεγαλόνοιαν καὶ αὖθις τῶν μέτρων τὸ ἀξιάγαστον.

μ 360 Μεγαλεῖον: μεγαλοπρεπές. οἱ δὲ τῷ Μάγωνι προσπολεμοῦντες τῶν Λιγυστίνων πρᾶξαι μὲν ὁλοσχερές τι καὶ μεγαλεῖον οὐχ οἷοί τ’ ἦσαν.

μ 361 Μεγαλείως: πάνυ. οἱ δὲ Ῥωμαῖοι μεγαλείως ἔχαιρον καὶ μέγιστον ἐποιοῦντο σημεῖον τῆς τῶν Καρχηδονίων ὑπερηφανίας.

μ 362 Μεγαλήτωρ: μεγαλόψυχος.

μ 363 Μεγαλίζεο: ἐπαίρου.

μ 364 Μεγαλοδωρία· τοσαύτῃ μεγαλοδωρίᾳ καὶ σοφίᾳ ἐχρήσατο· οὔτε γὰρ ἑωρᾶτο ὁρώμενος οὔτε εὑρίσκετο εὑρισκόμενος οὔτε κατελαμβάνετο ἁλισκόμενος. Ζήνων ἐπιβαλομένου τινὸς μέγα φυσᾶν, πατάξας εἶπεν, ὡς οὐκ ἐν τῷ μεγάλῳ τὸ εὖ κείμενον εἴη, ἀλλ’ ἐν τῷ εὖ τὸ μέγα.

μ 365 Μεγαλομερία. Πολύβιος περὶ Καρχηδονίων φησίν, ὅτι ὁ στόλος αὐτῶν περὶ ιε′ μυριάδας ὑπῆρχεν· ἐφ’ οἷς οὐχ οἷον ἄν τις παρὼν καὶ θεώμενος ὑπὸ τὴν ὄψιν, ἀλλὰ κἂν ἀκούων καταπλαγείη τὸ τοῦ κινδύνου μέγεθος καὶ τὴν τῶν πολιτευμάτων ἀμφοτέρων μεγαλομερίαν καὶ δύναμιν. καὶ ὁ Θεολόγος· τοῖς τῶν μεγίστων ἢ τοῦ μεγίστου. μεγίστων ὡς ἐν τρισὶν ὑποστάσεσιν ὁμοουσίοις. ἢ τοῦ μεγίστου, διὰ τὸ κατ’ οὐσίαν ἓν καὶ ταυτὸ τῆς θεότητος. ἢ ὑπὲρ τὸ μέγα, διὰ τὸ μὴ ποσῷ τινι ἢ μεγέθει ἢ πηλικότητι περιγράφεσθαι.

μ 366 Μεγαλομερῶς· τὸν δὲ Πόπλιον καὶ τὸν Γάϊον ἀποδεξάμενος φιλανθρώπως καὶ μεγαλομερῶς. ἀντὶ τοῦ πολυτελῶς.

μ 367 Μεγαλόνοια: ὑπερηφανία, μεγαλοφυΐα. μεγαλοπρέπεια.

μ 368 Μεγαλοπολίτιδος· ζήτει ἐν τῷ Ἀλφειός.

μ 369 Μεγαλοπρεπής: μεγαλοφανής. ἢ ὁ ἐπὶ μεγέθει ἀναλωμάτων πονούμενος, ἐλευθέριος δὲ ὁ ἐπὶ τὰ συνήθη καὶ εὐτελῆ. Εὐνάπιος· οὔτε ἄλλως τὸ μεγαλοπρεπὲς κατὰ τὴν δίαιταν ἐν ταῖς μάχαις ἐστὶ φιλοκίνδυνον. διαφέρει δὲ μεγαλοπρέπεια ἐλευθεριότητος ὅτι ἡ μὲν ἐν μεγέθει ἀναλωμάτων ἐστιν, ἡ δὲ ἐλευθεριότης περὶ τὰ συνήθη ἀναλώματα ἐνεργεῖ.

μ 370 Μεγαλορήμονος· καὶ Μεγαλορημοσύνη, μεγαληγορία.

μ 371 Μεγαλόφρων: μεγαλόψυχος. Μεγαλόψυχος δέ ἐστιν ὁ ἕξιν ἔχων ὑπεράνω ἑαυτὸν τιθέναι πάντων τῶν συμβαινόντων κοινῇ φαύλων τε καὶ σπουδαίων. λέγεται δὲ καὶ μέγιστος πλοῦτος παρὰ τοῖς παλαιοῖς.

μ 372 Μεγαλοψυχότερος.

μ 373 Μεγαλώνυμον: μεγαλόδοξον, περίφημον, ὀνομαστόν.

μ 374 Μεγαλωστί: μεγάλως. ὁ δὲ παραλαβὼν τὴν Ἔφεσον ἐπὶ τούτῳ μεγαλωστὶ περιχαρὴς ἦν.

μ 375 Μεγαλωστί: πάνυ. Ἀρριανός· τὴν πίστιν καὶ τὴν δικαιότητα μεγαλωστὶ ἐπῄνει τοῦ Ἀλεξάνδρου, τά τε ἄλλα καὶ τὸ αὑτοῦ ἐν πρώτοις ἐς βεβαίωσιν τοῦ λόγου προφέρων.

μ 376 Μεγαλωσύνη. καὶ Μεγαλορρημοσύνη.

μ 377 Μεγαλύνω· αἰτιατικῇ.

μ 378 Μεγαμάζα: οἱ Σύροι τὴν ἐπὶ τὸν βασιλέα δέησιν οὕτω καλοῦσιν.

μ 379 Μεγάμυκος: μεγαλομυκήτης. ἢ ὄνος.

μ 380 Μεγάνορος πλούτου: Πίνδαρος. ἰσχυροῦ, δυνατοῦ, ἀνδρείαν ἐμποιοῦντος· ἐπεὶ μεγάλα δύναται ὁ χρυσός. νεῦρα γὰρ λέγεται πολέμου εἶναι, ὥς φησι Πίνδαρος.

μ 381 Μέγαρα: τὰ οἰκήματα. Μέγαρον, ὑπερῷον, οἴκημα. καὶ ὡς οὐ μέλει τῶν ἀνθρωπείων τῷ θεῷ, ὠθεῖ ἑαυτὸν εἰς τὸ μέγαρον, ἔνθα δήπου τῷ μὲν ἱεροφάντῃ μόνῳ παρελθεῖν θεμιτὸν ἦν κατὰ τὸν τῆς τελετῆς νόμον, ἐκείνῳ δὲ οὐκ ἐξῆν.

μ 382 Μεγαρέων ἄξιοι μερίδος: ἀντὶ τοῦ ἄτιμοι. τοιοῦτοι γὰρ οἱ Μεγαρεῖς. ὅτι δὲ τοιοῦτόν ἐστι τὸ πρᾶγμα, δῆλοι καὶ σαφεῖς οἱ μάρτυρες, οὐκ ἄδοξοί τινες, οὐδὲ τῆς Μεγαρέων μερίδος, ἀλλὰ τῶν ἀπενεγκαμένων τῆς σοφίας τὰ πρῶτα. ζήτει περὶ Μεγαρέων ἐν τῷ Διὸς Κόρινθος.

μ 383 Μεγαρέων δάκρυα: ἐπεὶ πλεῖστα ἐν τῇ Μεγαρίδι σκόροδα φύεται, εἰς παροιμίαν ἦλθεν ἐπὶ τῶν προσποιητῶς καὶ πρὸς βίαν δακρυόντων, καὶ μὴ ἐπὶ οἰκείῳ πάθει. Μεγαρεύς, ἡ εὐθεῖα.

μ 384 Μεγαρίζοντες: λιμώττοντες· ἢ μεγάλα λέγοντες.

μ 385 Μεγαρικαὶ Σφίγγες: αἱ πόρναι οὕτως εἴρηνται. ἴσως δὲ ἐντεῦθεν καὶ σφίγκται οἱ μαλακοὶ ὠνομάσθησαν. ἢ καὶ ἀπὸ Μαίας οὕτω λεγομένης ἐν Μεγάροις. ἀλλ’ ἔστιν ἡμῖν Μεγαρική τις μηχανή. ἀντὶ τοῦ πονηρά. διεβάλλοντο γὰρ ἐπὶ πονηρίᾳ οἱ Μεγαρεῖς.

μ 386 Μεγαρόθεν: ἀπὸ τῶν Μεγάρων.

μ 387 Μεγαρίς, Μεγαρίδος.

μ 388 Μεγαρίσαι: τὰ Μεγαρέως δοξάσαι. Στίλπων γὰρ ὁ φιλόσοφος Μεγαρεὺς ἦν, τῆς Ἑλλάδος· ὃς τοσοῦτον εὑρησιλογίᾳ καὶ σοφιστείᾳ προῆγε τοὺς ἄλλους, ὡς μικροῦ δεῆσαι πᾶσαν τὴν Ἑλλάδα ἀφορῶσαν εἰς αὐτὸν μεγαρίσαι.

μ 389 Μέγας βασιλεύς: ὁ τῶν Περσῶν. διὰ τὸ πλείονι δυνάμει χρῆσθαι τῇ Περσικῇ. τοὺς δὲ ἄλλους προσετίθεσαν καὶ τῶν ἀρχομένων τὰ ὀνόματα, οἷον Λακεδαιμονίων, Μακεδόνων. καὶ ζήτει ἐν τῷ βασιλεὺς μέγας. ἡ εὐθεῖα, ὁ μέγας, γενικὴν οὐκ ἔχει οὔτε δοτικήν· ἡ αἰτιατική, τὸν μέγαν. ἡ δὲ κλητικὴ εὕρηται παρὰ τοῖς ποιηταῖς· ὥς φησιν Ἀγαθίας ἐν Ἐπιγράμμασι· ἆ μέγα τολμήεις κηρός.

μ 390 Μέγα σεμναί: τουτέστι θαυμασιώταται καὶ ὑπεράγαν σεμναί.

μ 391 Μέγα τὸ στόμα τοῦ ἐνιαυτοῦ: οἷον πολλὴ παρρησία πάντων, εὐφορίας γενομένης.

μ 392 Μέγα τοι ἄγγελος ἐσθλός: ἐπὶ τῶν ἀγαθὰ ἐπαγγελλόντων.

μ 393 Μέγα φρονεῖ μᾶλλον ἢ Πηλεὺς ἐπὶ τῇ μαχαίρᾳ: φασὶ ταύτην ὑπὸ τοῦ Ἡφαίστου γενομένην, δῶρον Πηλεῖ σωφροσύνης ἕνεκα ὑπὸ Ἡφαίστου δοθῆναι, ᾗ χρώμενος πάντα κατώρθου καὶ ἐν ταῖς μάχαις καὶ ἐν ταῖς θήραις.

μ 394 Μεγαίνετος: ὄνομα κύριον. αὐθάδης, καὶ τῶν στρατηγιώντων, καὶ ἄλλως θρασύς.

μ 395 Μεγαίνετος ὁ Μάνης καὶ Φορμίσιος, δούλων ὀνόματα. γνώσῃ δὲ τοὺς τούτου κἀμοῦ μαθητάς. τούτου μὲν Φορμίσιος Μεγαίνετός θ’ ὁ Μάνης. δούλων ὀνόματα.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μ 396 Μεγαίρων: φθονῶν.

μ 397 Μέγεθος: ὅτι διττὸν τὸ μέγεθος. κοινὴ αἴσθησις. δύναται δὲ κατὰ ἀναλογίαν καὶ ἐπὶ ὀσφρήσεως λαμβάνεσθαι καὶ γεύσεως· εἰσὶ γὰρ καὶ αὗται τοῦ οἰκείου μεγέθους ἀντιληπτικαί, ἡ μὲν τοῦ ἐν ὀσμαῖς, ἡ δὲ τοῦ ἐν χυμοῖς· εἰ καὶ μὴ οἶδεν ἡ συνήθεια τὸ τοῦ μεγέθους ὄνομα.

μ 398 Μέγηρον: τὸ ἐπέραστον.

μ 399 Μέγης: ὁ μέγας.

μ 400 Μεγιστᾶνες.

μ 401 Μέγιστος: ποταμὸς ἐν Αἰγαίῳ πελάγει εἰσβάλλων.

μ 402 Μέδεσθαι: φροντίζειν. καὶ Μεδήσομεν, φροντίσομεν.

μ 403 Μέδιμνον: μέτρον χοινίκων μη′. καὶ παροιμία· Μεδίμνῳ ἀπομετρῶ παρὰ τοῦ πατρὸς ἀργύριον· ἐπὶ τῶν μεγάλην καὶ ἀθρόαν προσδοκώντων ὠφέλειαν.

μ 404 Μέδιμνον: μέτρον ἐστὶ ξηρῶν οἷον πυρῶν ἢ κριθῶν. Μέδιμνον οὖν μοδίων ϛ′, ὡς εἶναι μέτρον ξεστῶν οβ′, ἤτοι λιτρῶν ρη′.

μ 405 Μεδιόλανον: πολυάνθρωπος πόλις, ἣν καταλαβὼν Ἀττήλας ἠνδραποδίσατο. ὡς δὲ εἶδεν ἐν γραφῇ τοὺς μὲν Ῥωμαίων βασιλεῖς ἐπὶ χρυσῶν θρόνων καθημένους, Σκύθας δὲ ἀνῃρημένους καὶ πρὸ τῶν σφῶν ποδῶν κειμένους, ζητήσας ζωγράφον ἐκέλευσεν αὑτὸν μὲν γράφειν ἐπὶ θάκου, τοὺς δὲ Ῥωμαίων βασιλεῖς κωρύκους φέρειν ἐπὶ τῶν ὤμων καὶ χρυσὸν πρὸ τῶν αὑτοῦ χέειν ποδῶν.

μ 406 Μέδουσα: ἡ καὶ Γοργόνη κληθεῖσα. Περσεύς, ὁ Δανάης καὶ Πήκου υἱός, διδαχθεὶς πάσας τὰς μυστικὰς φαντασίας, ἰδίαν βουλόμενος ἑαυτῷ καταστῆσαι βασιλείαν κατεφρόνησε τῆς τῶν Μήδων· καὶ διὰ πολλῆς ἐρχόμενος γῆς εἶδε παρθένον κόρην αὐχμηράν τε καὶ δυσειδῆ, καὶ ἀποβλέψας εἰς αὐτὴν ἐρωτᾷ, τίς καλεῖται· ἡ δὲ εἶπε, Μέδουσα, καὶ ἀποτεμὼν αὐτῆς τὴν κεφαλὴν ἐτέλεσεν αὐτὴν ὡς ἐδιδάχθη, καὶ ἐβάσταζε, καταπλήττων πάντας καὶ ἀναιρῶν τοὺς ὁρῶντας· ἥν τινα κεφαλὴν ἐκάλεσε Γοργόνην, διὰ τὴν ὀξύτητα τῆς ἐνεργείας. ἐκεῖθεν δὲ ἐλθὼν εἰς χώραν βασιλευομένην ὑπὸ Κηφέως εὗρεν ἐν τῷ ἱερῷ παρθένον κόρην, τὴν λεγομένην Ἀνδρομέδαν, ἣν ἔγημε· καὶ κτίζει πόλιν εἰς κώμην, λεγομένην Ἄμανδραν, στήσας καὶ στήλην βαστάζουσαν τὴν Γοργόνην. αὕτη μετεκλήθη Ἰκόνιον, διὰ τὸ ἀπεικόνισμα τῆς Γοργόνης. ἐπολέμησε δὲ καὶ Ἰσαύροις καὶ Κίλιξι καὶ κτίζει πόλιν, ἣν ἐκάλεσε Ταρσόν, τοπρὶν λεγομένην Ἀνδρασόν. χρηματισθεὶς δέ, ὅτι μετὰ τὴν νίκην ἐν ᾧ τόπῳ ἀποβὰς ἀπὸ τοῦ ἵππου τὸν ταρσὸν τοῦ ποδὸς ἀπόθηται, ἐκεῖ ὑπὲρ τῶν νικητηρίων κτίσαι πόλιν, ταύτην οὖν ἐκάλεσε Ταρσόν. νικήσας δὲ καὶ τοὺς Μήδους ἤμειψε τὸ ὄνομα τῆς χώρας καὶ ἐκάλεσεν αὐτὴν Περσίδα. ἐδίδαξε δὲ καὶ τὴν μυσαρὰν τελετὴν τὴν ἐπὶ τῇ Γοργόνῃ τινὰς τῶν Περσῶν, οὓς ἐκάλεσε μάγους. καθ’ οὓς χρόνους καὶ σφαῖρα πυρὸς κατηνέχθη ἐκ τοῦ οὐρανοῦ, ἐξ ἧς ἔλαβε πῦρ ὁ Περσεὺς καὶ παρέδωκε τοῖς τοῦ ἔθνους φυλάττειν καὶ τιμᾶν, ὡς ἐκ τοῦ οὐρανοῦ κατενεχθέν. συμβαλὼν δὲ πόλεμον τῷ Κηφεῖ, τοῦ δὲ διὰ τὸ γῆρας μὴ βλέποντος καὶ τῆς κεφαλῆς μὴ ἐνεργούσης, δοκῶν αὐτὴν ἀνωφελῆ εἶναι, ἐπιστρέψας πρὸς ἑαυτὸν ὁ Περσεὺς καὶ ταύτην θεασάμενος ἀποθνήσκει. ταύτην ὕστερον ἔκαυσεν ὁ υἱὸς αὐτοῦ Μέρρος.

μ 407 Μέδων: βασιλεύς.

μ 408 Μεδοίατο: φροντίζει.

μ 409 Μέζεα: τὰ αἰδοῖα.

μ 410 Μεθαρμοζόμενος: μετερχόμενος.

μ 411

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Μεθάρμοσον: ἐπανόρθωσον. ὀξεῖαν ἀκοὴν τοῖς ἐμοῖς λόγοισι διδούς, εἰ μή τι καιροῦ τυγχάνω, μεθάρμοσον.

μ 412 Μεθέμεν: συγχωρῆσαι.

μ 413 Μεθέξειν· γενικῇ.

μ 414 Μέθεξις: μετοχή, κοινωνία.

μ 415 Μεθέσθαι: καταλιπεῖν. Σοφοκλῆς· καὶ δὸς ἀνδράσιν φίλοις γνώμησι φατῆσαι, τάσδε φροντίδας μεθέσθαι.

μ 416 Μεθείθη: ἀντὶ τοῦ ἐστάλη. ὁ δὲ μεθείθη εἰς Παρθυαίους.

μ 417 Μεθεῖναι: ἀφεῖναι, ἀμελῆσαι.

μ 418 Μεθειώ: ἀφῶ, ἐάσω. καὶ Μεθείθη ἐξ αὐτοῦ.

μ 419 Μεθείς: ἐῶν, ἀφίων.

μ 420 Μέθη· τὸ παλαιὸν οὐκ ἦν ἔθος οὔτ' οἶνον ἐπὶ πλεῖον οὔτ' ἄλλην ἡδυπάθειαν προσφέρεσθαι, μὴ θεῶν ἕνεκα τοῦτο δρῶντας. διὸ καὶ θοίνας καὶ θαλίας καὶ μέθας ὠνόμαζον· τὰς μὲν ὅτι διὰ θεοὺς οἰνοῦσθαι ἐνόμιζον· τὰς δὲ ὅτι θεῶν χάριν ἠλίζοντο καὶ συνίεσαν. τοῦτο γάρ ἐστι τὸ δαῖτα θάλειαν. τὸ δὲ μεθύειν, τὸ μετὰ τὸ θύειν αὐτῷ χρῆσθαι. καὶ Ὅμηρος, ὅτε λέγει τέλος χαριέστατον, τὴν θυσίαν φησί.

μ 421 Μεθ' ἡμέραν: ἀντὶ τοῦ ἐν ἡμέρᾳ· Ἀττικῶς. Ἀριστοφάνης Πλούτῳ· οἴμοι τάλας, ἀποδύομαι μεθ' ἡμέραν. οὕτως Ἀττικῶς φασιν, οὐκ ἐν ἡμέρᾳ.

μ 422 Μεθημοσύνη: ἀμέλεια, ῥᾳθυμία.

μ 423 Μεθήμων: ἀμελής.

μ 424 Μεθήσειν: ἀμελήσειν.

μ 425 Μεθιεμένους: ἐῶντας, προδιδόντας,

μ 426 Μεθίετο: προΐετο, ἠφίετο. καὶ Μεθιέμενα, ἀντὶ τοῦ βαλλόμενα, πεμπόμενα.

μ 427 Μεθίει: ἀμελεῖ, ἀφίει. καὶ Μεθιείς, ἀντὶ τοῦ καταλαμβάνων. οὐδὲ τὸν πόλεμον μεθιείς, τῷ μιαιφόνος τις καὶ παλαμναῖος εἶναι.

μ 428 Μεθοδεύει: μετέρχεται, τεχνάζεται, ἀπατᾷ.

μ 429 Μεθοδείας: τέχνας, ἢ δόλους.

μ 430 Μεθόδιον: μέθοδος, τέχνη. ὁ δὲ τὸ κατ' ἀλήθειαν ὑπάρχον αὐτῷ μεθόδιον οὕτω πως ἐκεχειρίκει.

μ 431 Μεθοδικῶς: τουτέστι κατὰ μέθοδον. Πολύβιος· ὁ δὲ τρόπος τῶν κλιμάκων τῶν ἐν τοῖς τείχεσι προσαγομένων εὐχερὴς καὶ ἀδιάπτωτος, ἐὰν λαμβάνηται μεθοδικῶς. κατὰ μέθοδον. καὶ αὖθις· πάντα δὲ τὰ λεγόμενα μεθοδικῶς περὶ τῶν τάξεων ἐπωπτευκώς, εἰ καί τις ἕτερος τῶν καθ' ἡμᾶς.

μ 432 Μεθόδιος, Ὀλύμπου Λυκίας ἤτοι Πατάρων, καὶ μετὰ ταῦτα Τύρου ἐπίσκοπος, λαμπροῦ καὶ συγκειμένου λόγου κατὰ Πορφυρίου συνέταξε τεύχη· καὶ Συμπόσιον δέκα παρθένων, καὶ περὶ Ἀναστάσεως λόγον ἄριστον κατὰ Ὠριγένους, καὶ ἕτερον κατὰ τοῦ αὐτοῦ περὶ Πυθονίσσης, καὶ περὶ αὐτεξουσίου. ἔγραψε δὲ καὶ εἰς τὴν Γένεσιν καὶ εἰς τὰ Ἄισματα τῶν ᾀσμάτων ὑπομνήματα· καὶ ἕτερα πολλὰ χύδην ἀναγινωσκόμενα. ὃς περὶ τὰ τελευταῖα τοῦ διωγμοῦ ἐπὶ Δεκίου καὶ Βαλεριανοῦ ἐν Χαλκίδι τῆς ἀνατολῆς μαρτυρίῳ ἐστέφθη.

μ 433 Μεθωναῖος: ὁ ἀπὸ τῆς Μεθώνης πόλεως.

μ 434

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Μεθώνη: ἡ πόλις. μία τῶν Ἀλκυονίδων. Δημοσθένης ἐν Φιλιππικοῖς λέγοι ἂν τὴν ἐν Θρᾴκῃ· ἣν πολιορκῶν Φίλιππος ἐξεκόπη τὸν δεξιὸν ὀφθαλμόν. τέσσαρας δὲ εἶναί φησι Μεθώνας Δημήτριος ὁ Μάγνης.

μ 435 Μεθόριον: μεταξὺ τῶν ὅρων.

μ 436 Μεθορμιζόμενος: μετερχόμενος.

μ 437 Μέθυ: οἶνος. εὐῶδες δ' ἀπὸ γῆς ἡδὺ χέοιτο μέθυ, ὄφρα κέ τοι σποδιή τε καὶ ὀστέα τέρψιν ἄρηται. καὶ Ὅμηρος· δῶκεν Ἰησονίδης ἀγέμεν μέθυ χίλια μέτρα.

μ 438 Μεθύση κύων: θηλυκόν. ὅτι Αἴσωπον ἀπὸ δείπνου βαδίζονθ' ἑσπέρας, θρασεῖα καὶ μεθύση τις ὑλάκτει κύων. κἄπειτ' ἐκεῖνος εἶπεν, ὦ κύον, κύον, εἰ νὴ Δί' ἀντὶ τῆς κακῆς γλώττης ποθὲν πυροὺς πρίαιο, σωφρονεῖν ἄν μοι δοκῇς.

μ 439 Μεθυμναῖος: ἀπὸ τόπου.

μ 440 Μεθύουσαν: δίυγρον οὖσαν, πεπληρωμένην. ἐν Ἐπιγράμμασι· καὶ κώπην ἅλμης τὴν μεθύουσαν ἔτι. καὶ Μεθύω· αἰτιατικῇ.

μ 441 Μεθυσοκότταβοι: λάταξ, χαλκῆ φιάλη· ἣν μεταξὺ τοῦ δείπνου ἐτίθεσαν οἴνου πεπληρωμένην, εἶτα εἰς μικρὰ ποτήρια ἐμβαλόντες οἶνον, εἰς ταύτην ἀπὸ ὕψους ἐρρίπτουν ἐπὶ τῷ ψόφον ἐκτελέσαι, ὃς ἐκαλεῖτο κότταβος. ἐπῃνεῖτο δὲ ὁ μείζονα ψόφον ποιῶν. ἐκ τούτου οὖν μεθυσοκότταβος.

μ 442 Μέϊς, μέϊδος.

μ 443 Μελαγρία: εἶδος βοτάνης φυομένης ἐν ἐρήμῳ.

μ 444 Μελαγχαίτης: ὁ μέλαιναν χαίτην ἔχων.

μ 445 Μέλαθρα: οἶκον. Ἀριστοφάνης· μέλαθρα μὲν ἂν καταιθαλώσω. παρὰ τὸ μελαίνεσθαι ὑπὸ τοῦ καπνοῦ.

μ 446 Μελαμβαφές.

μ 447 Μελάμβωλος: μελανόγειος. Αἰγύπτου μεδέουσα μελάμβωλε λινόπεπλε δαῖμον.

μ 448 Μελάμπους: μαντικῆς εἰδήμων. ὁ δὲ σύμβολος Μελάμποδος ἢ Πόλλητος ἐδέετο. οὗτοι δὲ ἦσαν ἄριστοι κρίνειν τὰ μέλλοντα.

μ 449 Μελαμπύγου τύχοις: Μελάμπυγοι ἐγένοντο πέρπεροι, Λίμνης υἱοί. ἀκολασταινόντων αὐτῶν πολλά, ἡ μήτηρ ἔλεγε φυλάσσεσθαι μήποτε ἐμπέσωσιν εἰς δασύπρωκτον. ἐμπεσόντες οὖν εἰς Ἡρακλέα ἐν ἀνωφόρῳ ἐδέθησαν. εἶτα ὁρῶν αὐτοὺς γελῶντας καὶ κατακύπτοντας ἐπυνθάνετο τὴν αἰτίαν. οἱ δὲ ἔλεγον, ὅτι λόγιον ἦν τὸ τῆς μητρός, ἐμπεσεῖσθαι ἡμᾶς εἰς δασύπρωκτον· καὶ γελάσαντα τὸν Ἡρακλέα ἀφεῖναι αὐτοὺς τῶν δεσμῶν. ὅτι τοὺς λευκοπύγους ὡς γυναικώδεις ἐκωμῴδουν.

μ 450 Μελαναιγὶς Διόνυσος. καὶ ζήτει ἐν τῷ Ἀπατούρια.

μ 451 Μέλαν: τὸ ἀντιδιαιρούμενον τῷ λευκῷ χρώματι· καὶ ἰδίως, ᾧ γράφομεν. μέλαν δέ ἐστι χρῶμα συγκριτικὸν ὄψεως, λευκὸν δὲ χρῶμα διακριτικὸν ὄψεως. καὶ Μελαναιγίδα Διόνυσον ἱδρύσαντο ἐκ τοιαύτης αἰτίας. αἱ τοῦ Ἐλευθῆρος θυγατέρες θεασάμεναι φάσμα τοῦ Διονύσου ἔχον μελάνην αἰγίδα ἐμέμψαντο· ὁ δὲ ὀργισθεὶς ἐξέμηνεν αὐτάς. μετὰ ταῦτα ὁ Ἐλευθὴρ ἔλαβε χρησμὸν ἐπὶ παύσει τῆς μανίας τιμῆσαι Μελαναιγίδα Διόνυσον.

μ 452 Μελανείμονος: τοῦ μέλανα ἱμάτια φοροῦντος.

μ 453 Μελανίωνος σωφρονέστερος· Ἀριστοφάνης Λυσιστράτῃ· οὗτος φεύγων γάμον ἀφίκετ' ἐς ἐρημίαν κἀν τοῖς ὄρεσιν ᾤκει, καὶ κύνα τιν' εἶχε, κᾆτ' ἐλαγοθήρει, κοὐκ ἔτ' ἦλθεν οἴκαδ' ὑπὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μίσους. οὕτω τὰς γυναῖκας ἐβδελύχθη ἐκεῖνος· ἡμεῖς δ᾽ οὐδὲν ἧττον τοῦ Μελανίωνος σωφρονέστεροι.

μ 454 Μελανιππίδης, θυγατριδοῦς τοῦ πρεσβυτέρου, παῖς δὲ Κρίτωνος, λυρικοῦ καὶ αὐτοῦ· ὃς ἐν τῇ τῶν διθυράμβων μελοποιΐᾳ ἐκαινοτόμησε πλεῖστα καὶ διατρίψας παρὰ Περδίκκᾳ τῷ βασιλεῖ ἐκεῖ τὸν βίον κατέστρεψεν. ἔγραψε καὶ αὐτὸς ᾄσματα λυρικὰ καὶ διθυράμβους.

μ 455 Μελανιππίδης, Κρίτωνος, γεγονὼς κατὰ τὴν ξε′ Ὀλυμπιάδα, Μήλιος. ἔγραψε δὲ διθυράμβων βιβλία πλεῖστα καὶ ποιήματα ἐπικὰ καὶ ἐπιγράμματα καὶ ἐλέγους καὶ ἄλλα πλεῖστα.

μ 456 Μελανίππειον: Μελανίππου τοῦ Θησέως ἡρῷόν ἐστι.

μ 457 Μελάνθιος καὶ Μόρσιμος· λέγει Ἀριστοφάνης περὶ αὐτῶν οὕτως· ἄμφω Γοργόνες ὀψοφάγοι, βατιδοσκόποι, ἅρπυιαι, γραοσόβαι, μιαροί, τραγομάσχαλοι, ἰχθυολῦμαι· ὧν καταχρεμψαμένη μέγα καὶ πλατὺ μοῦσα καὶ θεὰ μετ᾽ ἐμοῦ ξύμπαιζε τὴν ἑορτήν. Γοργόνες, φοβεροὶ ἐς γαστριμαργίαν· βατὶς δὲ εἶδος ἰχθύος· ἅρπυιαι δὲ ἅρπαγες τῶν ἰχθύων· Ἅρπυιαι γὰρ ἁρπακτικοὶ δαίμονες· ἀπὸ τῶν ἰχθύων ἀποσοβοῦντες τὰς γραΐδας, ὡς μὴ ἀγοράζειν· ἢ γραΐσι συγκοιμώμενοι· σοβάδες γὰρ αἱ πόρναι· καταχρεμψαμένη δὲ καταπτύσασα.

μ 458 Μέλανθος, Ἀθηναῖος· ὃς ἐμονομάχησε μετὰ Ξανθίου Βοιωτοῦ καὶ ἀπέκτεινεν αὐτόν. καὶ ζήτει ἐν τῷ Ἀπατούρια.

μ 459 Μελανοσυρμαῖον λεών: μέλαινα, καὶ συρμαϊζόμενον· συρμαία δὲ κρίθινόν ἐστι πόμα. λέγει δὲ τοὺς Αἰγυπτίους.

μ 460 Μελανοχροιής: ὁ μέλαιναν χροιὰν ἔχων.

μ 461 Μελάνοψ: ὄνομα κύριον.

μ 462 Μελάνωπος: οὗτος κηδεστὴς ἦν Διοφάντου τοῦ ῥήτορος.

μ 463 Μελαντιάς, κώμη τῆς Θρᾴκης ἡ νῦν παρὰ πολλοῖς λεγομένη Μελιτιάς, β′ καὶ ρ′ σταδίους διεστῶσα τοῦ Βυζαντίου. παραρρεῖ δὲ αὐτὴν Ἀθύρας ποταμός, ὃς ὀλίγον τι προελθὼν καὶ ἐπὶ ἄνεμον Καικίαν ὀλίγον τι ἠρέμα ἐκκλίνας ἐς Προποντίδα τὸν ῥοῦν ἀπερεύγεται· ὅθεν καὶ τὸ πρὸς ἀκτῇ ἐπίνειον τὴν ἀπ᾽ αὐτοῦ φέρεται προσηγορίαν.

μ 464 Μελάνυδρος: βαθεῖα, κυρίως δὲ καθαροῦ ὕδατος.

μ 465 Μελαίνη: βαθείᾳ. Μέλαιναι δὲ φρένες, αἱ ἐν βάθει κείμεναι· τὸ γὰρ βαθὺ μέλαν.

μ 466 Μελαίνω. αἰτιατικῇ.

μ 467 Μελεάγρια· ῥίζαις αὐτοὺς μελεαγρίων καὶ καρδίαις καλάμων ἐδεξιοῦτο. λέγονται δὲ καὶ μελέαγρα.

μ 468 Μελεαγρίδες: ὄρνεα, ἅπερ ἐνέμοντο ἐν τῇ ἀκροπόλει. λέγουσι δὲ οἱ μὲν τὰς ἀδελφὰς τοῦ Μελεάγρου μεταβαλεῖν εἰς τὰς μελεαγρίδας ὄρνιθας, οἱ δὲ τὰς συνήθεις Ἰοκάλλιδος τῆς ἐν Λέρνῃ παρθένου, ἣν τιμῶσι δαιμονίως.

μ 469 Μελέαγρος: ὄνομα κύριον.

μ 470 Μελδόμενος: καιόμενος.

μ 471 Μέλδοντες: τήκοντες, ἕψοντες. γέντα βοῶν μέλδοντες, τουτέστιν ἕψοντες. καί, κνίση μελδόμενος. ἀντὶ τοῦ μέλδων τὰ κνίση.

μ 472 Μελεδαίνειν: ἐπιμελεῖσθαι. Ἡρόδοτος· τοὺς νοσέοντας κατέλιπεν ἐν τῇσι πόλισι μελεδαίνειν τε καὶ τρέφειν.

μ 473 Μελεδήματα: μεριμνήματα. καὶ Μελεδήμων, μελεδήμονος. ἐν Ἐπιγράμμασι· πολυσπαθέων μελεδήμονα κερκίδα πέπλων.

μ 474

Μελεδωνός: φροντιστής, ἐπιμελητής. Αἰλιανός· ὁ δὲ τὸν ἴδιον ἀδελφὸν κατέλιπε τοῦ υἱοῦ ἐπίτροπον καὶ τῶν χρημάτων μελεδωνόν. ὁ δὲ ἀνόσιος ὢν τὰ τοῦ παιδὸς σφετερίσασθαι ἐγλίχετο. καὶ Εὐνάπιος· τῶν αὐτῶν ἐθῶν γυναῖκά τινα στείλας ἐσθῆτι λευκῇ καὶ στέμμασιν, ὡς δὴ μελεδωνὸν οὖσαν τῆς Συρίας οὕτω δὴ καλουμένης θεοῦ. τουτέστιν ἱέρειαν. καὶ Αἰλιανός· ὃς ἦν Νέρωνος ἀπελεύθερος, ἀπολειφθεὶς μελεδωνὸς τῶν ἐν Ῥώμῃ καὶ ἔφορος, ὅτε Νέρων ἐς Ἀχαΐαν ἐξωρμήθη.

μ 475 Μελεδωνοί: ἐπίτροποι· φροντισταὶ παρ᾿ Ἡροδότῳ, προεστηκότες. ὥσπερ οἱ τοῦ ἀμπελῶνος τοῦ παρὰ τῷ Εὐαγγελίῳ.

μ 476 Μελεϊστί: κατὰ μέλος.

μ 477 Μέλεος: μάταιος, ἄθλιος, ταλαίπωρος, δυστυχής. ὁ μὲν ποιητὴς ἐπὶ τοῦ ματαίου ἐκδέχεται τὸ μέλεος, οἱ δὲ τραγικοὶ ἐπὶ τοῦ οἰκτροῦ.

μ 478 Μελέτη: ἄσκησις, ἐπιμέλεια. καὶ οὐκ ἂν ἁμάρτοι τις εἰπὼν τὰς μὲν μελέτας τῶν Ῥωμαίων χωρὶς αἵματος παρατάξεις, τὰς δὲ παρατάξεις μεθ᾿ αἵματος μελέτας.

μ 479 Μελετώμενοι: διδασκόμενοι, ἐκμανθάνοντες. ὥσπερ νέοι τῶν ἀετῶν ἁπαλῷ μὲν τῷ πτερῷ παραπέτονται τοῖς γειναμένοις αὐτοὺς μελετώμενοι ὑπ᾿ αὐτῶν τὴν πτῆσιν, ἐπειδὰν δὲ αἵρεσθαι δύνωνται, ὑπερπέτονται τοὺς γονέας, ἄλλως τε κἂν λίχνους αἴσθωνται καὶ κνίσης ἕνεκα πρὸς τῇ γῇ πετομένους.

μ 480 Μελέτωρ: ὁ ἐπιμελούμενος, ὁ τιμωρὸς τοῦ πατρός. ἐφάνη γὰρ μελέτωρ ἀμφὶ τὸν ἐν πένθει.

μ 481 Μέλει: ἔοικεν. οὕτω τέθειται παρ᾿ Ὁμήρῳ. καὶ παροιμία· μέλει μοι τῶν τοιούτων οὐδὲν ἧττον ἢ τῶν ἐν τοῖς τέλμασι βατράχων.

μ 482 Μέλει· φροντίζει· μέλλει δὲ τὸ βραδύνει. καὶ μέλλω, τὸ ὀφείλω.

μ 483 Μελείρηνες: τῶν παίδων οἱ πρεσβύτεροι.

μ 484 Μέλη: τὰ τοῦ σώματος.

μ 485 Μεληδόν: κατὰ μέλος.

μ 486 Μέλημα: φρόντισμα.

μ 487 Μέλης, Μέλητος: ὁ τοῦ Ὁμήρου πατήρ.

μ 488 Μελλήσας: ὑπερθέμενος, βραδύνας. καὶ ἐπὶ τοῦ σπουδάσας.

μ 489 Μελήσερμος, Ἀθηναῖος, σοφιστής. ἔγραψεν Ἐπιστολῶν ἑταιρικῶν βιβλία ιδʹ, καὶ ἀγροικικῶν αʹ, Μαγειρικῶν ἐπιστολῶν βιβλίον αʹ, Στρατηγικῶν βιβλίον αʹ, Συμποσιακῶν βιβλίον αʹ.

μ 490 Μελησία: ὄνομα κύριον. ὁ δὲ ὁρᾷ τὴν Μελησίαν καὶ ἐρᾷ αὐτῆς.

μ 491 Μέλλησις: ὑπέρθεσις.

μ 492 Μελησμός: ἡ βραδυτής.

μ 493 Μελήσω: σπουδάσω, φροντίσω.

μ 494 Μελληταί: ὑπερθετικοί.

μ 495 Μέλητος: τραγῳδίας ποιητὴς ὑπόψυχρος. καὶ Ἀριστοφάνης· σκολιὰ Μελήτου, Καρικῶν αὐλημάτων. οὗτός ἐστιν ὁ Σωκράτην γραψάμενος. κωμῳδεῖται δὲ ὡς ψυχρὸς ἐν τῇ ποιήσει καὶ ὡς πονηρὸς τὸν τρόπον. τὰ δὲ Καρικὰ αὐλήματα καὶ μέλη θρηνώδη ἦσαν.

μ 496 Μέλητος, Λάρου, Ἀθηναῖος, ῥήτωρ. οὗτος ἐγράψατο Σωκράτην μετὰ Ἀνύτου. πεποίηνται δὲ αὐτῷ καὶ τραγῳδίαι. κατελιθώθη δὲ ὑπὸ τῶν Ἀθηναίων. καὶ ἦν ἐπὶ τῶν Ζήνωνος τοῦ Ἐλεάτου καὶ Ἐμπεδοκλέους χρόνων. οὗτος ἔγραψε περὶ τοῦ ὄντος. καὶ ἀντεπολιτεύσατο δὲ Περικλεῖ· καὶ ὑπὲρ Σαμίων στρατηγήσας ἐναυμάχησε πρὸς Σοφοκλῆν τὸν τραγικόν, ὀλυμπιάδι πδʹ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μ 497 Μέλητος· οὗτος ἐρᾷ νεανίου Ἀθήνησι τῶν εὖ γεγονότων καὶ πλουσίων, μειρακίου καὶ ἐκείνου τὸ γένος διαπρεποῦς καὶ τὴν ὥραν ἀμάχου. καὶ τῷ μὲν ἐραστῇ Μέλητος ὄνομα ἦν, τῷ καλῷ δὲ Τιμαγόρας, ὥς φασιν. ἦν δὲ ἄτεγκτός τε καὶ ἀμείλικτος ὅδε ὁ παῖς, καί οἱ πολλὰ προσέταττε καὶ ἐπίπονα καὶ κινδύνων ἐχόμενα τῶν ἐσχάτων καὶ ὁμοῦ τὰ τῷ ὀλέθρῳ ἐλαύνοντα. καὶ ἦν τὰ πράγματα κύνας τε ἀγαθὰς καὶ θηρατικὰς ἐκ τῆς ἀλλοδαπῆς ἄγειν καὶ ἵππον αὖ τῶν πολεμίων ἀπαγαγεῖν ὅτου δὴ γενναῖόν τε καὶ θυμικόν, καὶ ἄλλου χλαμύδα ὡραίαν, καὶ τοιαῦτα ἕτερα. καὶ τελευτῶν ὄρνιθάς οἱ προσέταξε κομίσαι ὅτου δὴ τροφίμους καὶ οἰκέτας γένος θαυμαστούς. ἐπεὶ δὲ καὶ τοῦτο κατεπράξατο ὁ ἔνθεος φίλος ἐκεῖνος καὶ ἐδωρεῖτό γε τῷ καλῷ τὸ μέγα τίμιον κτῆμα τοὺς προειρημένους, ὁ δὲ ἀτεράμων ὢν καὶ ἐς τοσοῦτον ἀπεώσατο ἄρα τὸ δῶρον. ὁ τοίνυν Μέλητος φλεγόμενος τῷ ἔρωτι καὶ οἰστρούμενος καὶ ἐπὶ τούτοις ἀσχάλλων τῇ ἀτιμίᾳ καὶ ἀπαυδήσας ἐπὶ τοῖς ἀνηνύτοις τε μόχθοις ἅμα καὶ ἀπείροις, ᾗ ποδῶν εἶχεν ἀνέθορέ τε ἐς τὴν ἀκρόπολιν καὶ ἑαυτὸν ἔωσε κατὰ τῶν πετρῶν. οὐ μὴν ἡ τιμωρὸς δίκη τὸν ὑβριστὴν παῖδα καὶ ὑπερόπτην εἴασεν ἐπεγχανεῖν τῷ τοῦ Μελήτου θανάτῳ. τοὺς ὄρνιθας γοῦν ἀναλαβὼν καὶ ταῖς ἀγκάλαις ἐνθείς, εἶτα μέντοι κατ' ἴχνια τὰ ἐκείνου θέων, ὥσπερ οὖν ἑλκόμενος βίᾳ, ἑαυτὸν σὺν τῷ δυστυχεῖ χωρῶν ἐπὶ τῷ Μελήτῳ ἔρριψε φέρων, βραδὺν καὶ δυστυχῆ τὸν ἔρωτα ἀντερασθεὶς τοῦτον. καὶ ἕστηκεν εἴδωλον τοῦ πάθους κατὰ τὸν τόπον παῖς ὡραῖος καὶ γυμνὸς ἀλεκτρυόνας β' μάλα εὐγενεῖς φέρων ἐν ταῖς ἀγκάλαις καὶ ὠθῶν ἑαυτὸν ἐπὶ κεφαλήν.

μ 498 Μέλητοι καὶ Ἄνυτοι.

μ 499 Μέλι: τοῦτο γλυκὺ μέν ἐστι τὴν αἴσθησιν, πικρὸν δὲ τὴν ἀνάδοσιν· χολῆς γὰρ αὐτό φασι ποιητικὸν εἶναι καὶ τρέπειν τοὺς χυμοὺς εἰς τοὐναντίον τῆς γεύσεως· ὃ δὴ καὶ μᾶλλον τῆς ἐκ φύσεως αὐτοῦ πικρότητος κατηγορεῖ τὴν γένεσιν.

μ 500 Μελία: εἶδος δένδρου. Ἀριστοφάνης Ὄρνισιν· ἱζόμενος μελίας ἐπὶ φυλλοκόμου.

μ 501 Μελίβοιαν: τὴν Ὀλιζῶνα πόλιν.

μ 502 Μελίβοιος: γεωργὸς ὁ τὸν Οἰδίπουν ἀναθρεψάμενος. καὶ ζήτει ἐν τῷ Οἰδίπους.

μ 503 Μελίδειον κηρίον.

μ 504 Μελίαι: βέλη. δόρατα. μελίαι δ' ἦσαν αὐταῖς αἱ κερκίδες· φησὶν ὁ θεολόγος Γρηγόριος. καὶ ἐν Ἐπιγράμμασι· οὕτω τοι, μελία ταναά, ποτὶ κίονα μακρὸν ἧσο, πανομφαίῳ Ζηνὶ μένους' ἱερά.

μ 505 Μελιηδής: ὁ γλυκύτατος. καὶ Ὅμηρος· μελιηδέα θυμὸν ἀπηύρα.

μ 506 Μελίνη: εἶδος ὀσπρίου. ἦν δὲ καὶ σῖτος ἀπὸ μελίνης, τοῦτο γὰρ ἦν ἐν τῇ χώρᾳ πλεῖστον. καὶ αὖθις· ἐφέροντο ἀδεῶς οἶνον, ὄσπρια, μελίνας, σῦκα. πάντα γὰρ ἀγαθὰ εἶχεν ἡ χώρα πλὴν ἐλαίου.

μ 507 Μελίνη· Δημοσθένης ἐν Φιλιππικῷ. ὄσπριόν ἐστιν· ὅπερ καὶ ἀρσενικῶς λέγεται· Σοφοκλῆς μὲν γὰρ καὶ Ἡρόδοτος καὶ Ξενοφῶν θηλυκῶς εἶπον μελίνην. Ξενοφῶν δὲ ὁ αὐτὸς ἐν Ἀναβάσει καὶ μέλινον καὶ μελίνους εἶπεν. ἔνιοι δὲ εἶδός τι κεγχρίου νομίζουσι τὴν μελίνην, ὅπερ τινὰς καλεῖν ἔλυμον. Θεόφραστος δὲ ἐν ζ' Περὶ φυτῶν ὡς διαφέροντα ταῦτα ἀναγράφει κέγχρον ἢ μελίνην ἢ ἔλυμον.

μ 508 Μελίπηκτα: εἶδος πλακοῦντος.

μ 509 Μελιπνόους: ἡδυπνόους.

μ 510 Μελίρρυτον.

μ 511 Μέλισσα: ὄνομα πόλεως. καὶ ζωΰφιον, ὅπερ ἐργάζεται τὸ μέλι.

μ 512 Μελισσείου κηρίου.

μ 513 Μελισμός: τῶν μελῶν ἡ διαίρεσις. ἐκ τοῦ μελίζω.

μ 514 Μελισσοκόμος: ὁ τῶν μελισσῶν ἐπιμελούμενος.

μ 515 Μέλισσος: ὄνομα κύριον. ζήτει ἐν τῷ γεννητική.

μ 516 Μελισσῷα.

μ 517 Μελιστί: κατὰ μέλος.

μ 518 Μέλιττα: ἡ μέλισσα.

μ 519 Μελιταῖον κυνίδιον. τῶν γὰρ κυνῶν οἱ μὲν ἰχνευταί, οἱ δὲ ὁμόσε τοῖς θηρίοις χωροῦσιν, οἱ δὲ ἐπὶ φυλακῇ τῶν κτημάτων οἰκουροί, οἱ δὲ ἐπὶ τέρψει, ὡς τὰ Μελιταῖα κυνίδια. καὶ Μελιτηροὶ κύνες, οἱ ἐπὶ τέρψει τρεφόμενοι.

μ 520 Μελιταιεύς.

μ 521 Μελίτη· Δημοσθένης ἐν τῷ κατὰ Κόνωνος. δῆμος δ’ ἐστι τῆς Κεκροπίδος, ὀνομασθεὶς ἀπὸ Μελίτης, κατὰ μὲν Ἡσίοδον θυγατρὸς Μύρμηκος, κατὰ δὲ Μουσαῖον Δίου τοῦ Ἀπόλλωνος.

μ 522 Μελιτηνή: ὄνομα πόλεως. καὶ Μελιτηνός, ὁ πολίτης.

μ 523 Μελιτιανός. ὅτι Βουταλίων καὶ Κόροιβος καὶ Μελιτίδης ἐπὶ μωρίᾳ διεβέβληντο. Ἀριστοφάνης. ζήτει ἐν τῷ γελοῖος.

μ 524 Μελιττοπηχεῖν: τὸ κρούοντας ψόφον ποιεῖν, ἵνα μὴ αἱ μέλισσαι προσπέτωνται.

μ 525 Μέλιτος μυελός: ἐπὶ τῶν ἄγαν ἡδέων.

μ 526 Μελιτοῦττα: μάζα μέλιτι δεδευμένη, ἣν ἔφερον, ὡς ἐδόκουν, τοῖς ὄφεσι τοῖς ἐς Τροφωνίου μαντευομένοις. ἐν Λεβαδείᾳ ἐστίν. ἡ μελιτοῦττα ἐπίθετον τῶν ναστῶν. ἰστέον, ὅτι ἡ μελιτοῦττα ἐδίδοτο τοῖς νεκροῖς, ὡς εἰς τὸν Κέρβερον· καὶ ὀβολὸς μισθὸς τῷ πορθμεῖ, καὶ στέφανος, ὡς τὸν βίον διηγωνισμένος.

μ 527 Μελιτωδῶν ἐδεσμάτων.

μ 528 Μελίτωνος.

μ 529 Μελιτρός.

μ 530 Μελίφρων: ἡδύς, γλυκαίνων τὰς φρένας.

μ 531 Μελίχλωρος: ὁ χλωρός.

μ 532 Μελόμενοι· καὶ ἐπίστευον εἶναι θεοφιλεῖς, τῷ δαίμονι τούτῳ μελόμενοι.

μ 533 Μέλον: διὰ φροντίδος ὄν. Ἀριστοφάνης· οὐδὲν ἄρ’ ἐμοῦ μέλον, ὅσον δὲ μόνον εἰδέναι σκωμμάτιον, εἴποτέ τι θλιβόμενος ἐκβάλω. ὅτι δὴ βασιλεὺς ὢν καὶ Πέρσης, ἐθνῶν τε τοσούτων καὶ πράξεων μέλον αὐτῷ, ὁ δὲ ἐφίετο γοῦν ὅμως ἁμηγέπη ἀπογεύεσθαι λόγων καὶ τῆς περὶ ταῦτα γάνυσθαι δόξης.

μ 534 Μελλονικιᾶν: τὸ βραδύνειν καὶ ἀναβάλλεσθαι. Ἀριστοφάνης· οὐδὲ νυστάζειν ὥρ’ ἐστὶν ἡμῖν, οὐδὲ μελλονικιᾶν. Νικίας γὰρ υἱὸς Ἀλκιβιάδου, ὃς ἀνεβάλετο ἀπελθεῖν εἰς Σικελίαν. βραδὺς γὰρ ἦν περὶ τὰς ἐξόδους, καὶ ὡς οἱ διαβάλλοντες οὐ προνοητικός, ἀλλὰ μελλητής. ἀλλ’ ὡς τάχιστα δεῖ τι δρᾶν.

μ 535 Μελόντων: ἐπιμελείσθωσαν.

μ 536 Μέλος τι μελλοδειπνικόν ὑπανακίνει Κρητικὼ τὼ πόδε. Ἀριστοφάνης· τάχα γὰρ ἔπεισι λοπαδοτεμαχοσελαχογαλεοκρά.

μ 537 Μέλου: ἐπιμελοῦ. καὶ τὰ λοιπά μου μέλου δικαίως, ὥσπερ ἐς τόδ’ ἡμέρας.

μ 538 Μέλλω: ἐπὶ τοῦ βραδύνω. καὶ ἐπὶ τοῦ ἐσομένου χρόνου παρὰ Θουκυδίδη. καὶ Σοφοκλῆς· μέλλων γὰρ ἀεὶ δρᾶν τι τὰς οὔσας τέ μου καὶ τὰς ἀπούσας ἐλπίδας διέφθειρα. καὶ Ἀριστοφάνης· μὴ δῆθ’ ἱκετεύω, πλὴν ὅταν μέλλω ’ξεμεῖν. τουτέστιν εἰ ὅλως λέγεις, τότε εἰπέ, ὅτε μέλλω

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐξεμεῖν· ἵνα ἅπαξ ἐμέσω καὶ μὴ καὶ τότε καὶ ὅτε λέγεις· ἢ οὕτως· τότε, φησί, λέγε, ἐὰν θέλῃς, ἐπιτηρήσας, ὅτε μέλλω ἐξεμεῖν· ῥᾷστα γὰρ ἂν μᾶλλον ἐξεμέσαιμι, ἐὰν εἴπῃς.

μ 539 Μέλλω: τὸ βραδύνω διὰ β′ λλ· μέλω δὲ τὸ φροντίζω δι’ ἑνὸς λ· δοτικῇ.

μ 540 Μέλω: ἐν ἐπιμελείᾳ εἰμί.

μ 541 Μέλπηθρα: παίγνια, σπαράγματα.

μ 542 Μέλποντες: ᾄδοντες, ἀνυμνοῦντες.

μ 543 Μελύδριον Ἰωνικόν: ἀντὶ τοῦ τρυφηλόν· τοιοῦτοι γὰρ Ἴωνες. Ἀριστοφάνης· δεῦρ’ ἴτ’ ἐπὶ τοὐμὸν στέμμα μελύδριον εὑροῦσαί τι τῶν Ἰωνικῶν.

μ 544 Μελχισεδέκ, ἱερεὺς τοῦ θεοῦ καὶ βασιλεὺς τῶν Χαναναίων. οὗτος κτίσας πόλιν ἐν τῷ ὄρει τῷ λεγομένῳ Σιὼν ἐπωνόμασεν αὐτὴν Σαλήμ, ὅ ἐστιν εἰρήνης πόλις· ἐν ᾗ βασιλεύσας ἔτη ριγ′ ἐτελεύτησε δίκαιος καὶ παρθένος. ἀγενεαλόγητος δὲ εἴρηται παρὰ τὸ μὴ ὑπάρχειν ἐκ τοῦ σπέρματος Ἀβραὰμ ὅλως μηδὲ γενεαλογεῖσθαι τὸ παράπαν, εἶναι δὲ Χαναναῖον τὸ γένος καὶ ἐκ τῆς ἐπαράτου σπορᾶς ὁρμώμενος, ὅθεν οὐδὲ γενεαλογίας ἠξίωτο. οὐ γὰρ πρεπωδέστατον ἦν τὸν τῆς ἄκρας δικαιοσύνης ἐπειλημμένον συμπλέκειν τῷ τῆς ἄκρας ἀδικίας γένει· διὸ καὶ ἀπάτορα καὶ ἀμήτορα τοῦτον εἶναί φασιν. ὅτι δὲ Χαναναῖος ἦν τὸ γένος εὔδηλον καὶ ἀφ’ ὧν ἐκράτει καὶ ἐβασίλευε κλιμάτων τῶν Χαναναίων καὶ οἷς ἐπλησίαζε πονηροτάτοις Σοδόμοις. καὶ μέντοι καὶ ἡ Σαλήμ, ἧς ὑπῆρχε βασιλεύς, ἡ πολυθρύλλητος Ἱερουσαλήμ ἐστιν, οὐδέπω τὸ ὅλον ὄνομα φέρουσα τῆς Ἱερουσαλήμ, ἐκ προσθήκης δὲ τῆς ἱεροῦ μετὰ τὴν Σαλὴμ προσλαμβάνουσα συλλαβὴν καὶ κατὰ συνάφειαν ὀνομασθεῖσα Ἱερουσαλήμ· διὰ δὲ τὸ ἀγενεαλόγητον λέγεται ἀπάτωρ καὶ ἀμήτωρ. ὅταν δὲ ἀκούσῃς παρὰ τῶν Μελχισεδεκιτῶν, ὅτι θεὸς ὀνομάζεται, μνήσθητι τοῦ Ἀποστολικοῦ, ὅτι ἑτέρας γενεᾶς ἐστι· τουτέστιν Χαναναίων.

μ 545 Μελχισεδέκ· οὗτος βασιλεὺς ὢν τῶν Χαναναίων καὶ ἱερεὺς τοῦ ὑψίστου θεοῦ ὑποστρέφοντι τῷ Ἀβραὰμ ἐκ τοῦ πολέμου ἀπαντήσας ἐξήγαγεν αὐτῷ ἄρτους καὶ οἶνον καὶ εἶπε πρὸς Ἀβραάμ· εὐλογημένος Ἀβραὰμ τῷ θεῷ τῷ ὑψίστῳ, ὃς ἔκτισε τὸν οὐρανὸν καὶ τὴν γῆν· καὶ εὐλογημένος ὁ θεὸς ὁ ὕψιστος, ὃς παρέδωκε τοὺς ἐχθρούς σου ὑποχειρίους σοι. καὶ ἔδωκεν αὐτῷ Ἀβραὰμ δεκάτην ἀπὸ πάντων. ἑρμηνεύεται δὲ Μελχισεδὲκ βασιλεὺς εἰρήνης.

μ 546 Μελχισεδέκ, ἱερεὺς οὐκ Ἰουδαίων μόνον, ἀλλὰ καὶ ἐθνῶν. οὕτω καὶ ὁ Χριστὸς οὐχ ὑπὲρ Ἰουδαίων μόνον ἀλλὰ καὶ ὑπὲρ πάντων ἀνθρώπων ἑαυτὸν προσενήνοχε τῷ θεῷ. ἄρχεται δὲ τῆς ἱερωσύνης ἐν τῇ νυκτί, μεθ’ ἣν τὸ πάθος ὑπέμεινεν, ἡνίκα λαβὼν ἄρτον καὶ εὐχαριστήσας ἔκλασε καὶ εἶπε· λάβετε, φάγετε, καὶ τὰ ἑξῆς. οὗτος ὁ Μελχισεδὲκ ἐπὶ Ἀβραὰμ ἤκμαζεν, ἀνὴρ θεοσεβής, ἐθνικός, καταγόμενος ἐκ τοῦ γένους Σίδου, υἱοῦ Αἰγύπτου, βασιλέως τῆς Λιβύης. ὅστις γινόμενος ἱερεὺς καὶ βασιλεὺς τῶν Χαναναίων ἔκτισε πόλιν ἐν τῷ ὄρει τῷ λεγομένῳ Σιὼν καὶ ἐκάλεσεν αὐτὴν Ἱερουσαλήμ, ὅπερ ἐστὶν εἰρήνης πόλις· καὶ ἐβασίλευσεν ἐν αὐτῇ ριγ′ ἔτη.

μ 547 Μελχὸμ προσοχθίσματι: εἴδωλον καὶ τοῦτο· προσοχθίσματα γὰρ καὶ βδελύγματα τὰ εἴδωλα προσαγορεύειν εἴωθεν ἡ Γραφή· ὅπερ δηλοῖ τὸ μῖσος καὶ ἀπόβλητον.

μ 548 Μεμαγμένη μᾶζα: ἐπὶ τῶν ἑτοίμων ἀγαθῶν.

μ 549 Μεμαγμένην: παρεσκευασμένην, καὶ ἐν ἑτοίμῳ γενομένην. ἔνθεν καὶ παροιμία· μᾶζαν μεμαχὼς τὴν ὑπ’ ἐμοῦ μεμαγμένην.

μ 550 Μεμακκοακότα: τὰ Μακκοῦς φρονοῦντα, ἀνοηταίνοντα· Μακκὼ γὰρ καὶ Λαμὼ ἐγένοντο ἐνεαί. τουτέστι βαρέως νοοῦσαι. Ἀριστοφάνης· ὁ δὲ ὡς ὁρᾷ μεμακκοακότα τὸν δεσπότην, τέχνην πεποίηται.

μ 551 Μεμακυῖα: προθυμουμένη.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μ 552 Μεμαώς: προθυμούμενος.

μ 553 Μεμαστιλημένος: κατειργασμένος, τουτέστι μεμασημένος.

μ 554 Μεμαυῖα: προθυμουμένη, γλιχομένη. οὐδὲ γὰρ ἐν θνητοῖσιν ἠδύνατο καὶ μεμαυῖα εὑρέμεναι Κλωθὼ τῷδ’ ἕτερον φονέα.

μ 555 Μεμβλώκατον: ἀντὶ τοῦ παραμένουσι. καὶ Μέμβλετό μοι, ἀντὶ τοῦ μετ’ ἐπιμελείας ἐγένετο.

μ 556 Μέμβλωκε: παραμένει. καὶ Μεμβλωκός, παραγενόμενον, μετ’ ἐπιμελείας κατασκευασθέν.

μ 557 Μεμβράς: εἶδος ἀφύας. καὶ ζήτει ἐν τῷ ἀφύα.

μ 558 Μεμελημένος: πεπονημένος.

μ 559 Μεμένηται: μένει.

μ 560 Μεμετρέαται: μεμέτρηνται.

μ 561 Μέμηλα: ἐφρόντισα. καὶ Μέμηλε, μέλλει.

μ 562 Μεμηλώς: ἐπιμελούμενος.

μ 563 Μέμηνε: μαίνεται.

μ 564 Μεμιλτωμένον· Ἀριστοφάνης· τὸ σχοινίον φεύγουσι τὸ μεμιλτωμένον. ἐπεὶ ὀκνηρῶς εἶχον οἱ Ἀθηναῖοι πρὸς τὰς συνόδους, εἰώθασιν ὑπηρέται β′ μεμιλτωμένον σχοινίον ἐκτείνοντες διὰ τῆς ἀγορᾶς διώκειν τὸν ὄχλον εἰς τὴν ἐκκλησίαν, ὥς φησι Πλάτων ὁ κωμικός. ὅσοι δὲ ἐχρίοντο, ἐξέτινον ζημίαν.

μ 565 Μέμμιος· ὕπατος ἦν Ῥωμαίων. ζήτει ἐν τῷ Ἀχαΐα.

μ 566 Μεμισθαρνηκώς: ὁ μισθῷ καμών.

μ 567 Μέμνῃ: β′ προσώπου.

μ 568 Μέμνημαι· γενικῇ.

μ 569 Μεμνῇτο: μιμνήσκοιτο. οὕτω προπερισπωμένως, ὡς Ἡρωδιανὸς ἐν τῇ Ὁμηρικῇ προσῳδίᾳ. Ἀριστοφάνης Πλούτῳ· ἵνα τοὐμὸν ἱμάτιον φορῶν μεμνῇτό μου.

μ 570 Μέμνων, ὁ ἐς Ἴλιον στρατεύσας, ἡγεῖτο μὲν Αἰθιόπων, οὐκ ἦν δὲ Αἰθίοψ, ἀλλὰ ἀπὸ Σούσων τῶν Περσικῶν καὶ τοῦ Χοάσπου ποταμοῦ, τὰ ἐκείνῃ ἔθνη ὑποχείρια ἔχων.

μ 571 Μέμονα: προθυμοῦμαι.

μ 572 Μέμορται: μεμοίραται.

μ 573 Μεμωκημένος: καταπεφρονημένος.

μ 574 Μέμωνος: ὄνομα κύριον.

μ 575 Μεμπτέος: μέμψεως ἄξιος.

μ 576 Μεμοιραμένων: λαχόντων, κληρωσαμένων.

μ 577 Μεμοίραται: μετέχει, εἴληφε.

μ 578 Μεμυαλωμένα: εὐτραφῆ καὶ πίονα. οὕτω γὰρ καὶ ὁ νόμος ἐκέλευσε. καὶ Μαλαχίας δὲ ὁ προφήτης ἐκέλευσεν ἄμωμά τε καὶ ἄρτια· ἐπαρᾶται δὲ τοῖς τοιαῦτα μὲν ἔχουσιν, ἀνάπηρα δὲ προσφέρουσι.

μ 579 Μεμύημαι: πεπείραμαι.

μ 580 Μεμυκότα: κρύψαντα, καμμύσαντα· ἢ κεκολλημένα. καὶ Ὅμηρος· σὺν δ’ ἕλκεα πάντα μέμυκεν. ἐκ παρατηρήσεως Ὅμηρός φησι τῶν ἐν πολέμῳ τρωθέντων τὰ τραύματα μὴ μύειν, μόνου δὲ τοῦ Ἕκτορος κατὰ θείαν πρόνοιαν. καὶ ἐν Ἐπιγράμμασι· τὸν πάρος Ὀρβηλοῖ μεμυκότα δειράσι ταῦρον. ἀντὶ τοῦ μυκηθμῷ χρώμενον, μυκώμενον.

μ 581 Μεμύρωμαι· Ἀριστοφάνης· μακαριωτάτη ἐγώ, ἥτις μεμύρωμαι τὴν κεφαλὴν μυρώμασιν ἀγαθοῖς· πολὺ δ’ ὑπερπέπαικεν αὐτῶν τὰ Θάσια ἀμφορείδια. ἀμφορείδια τὰ κεράμια· ἀπανθήσαντα δὲ ξηρανθέντα.

μ 582 Μεμυστιλημένοι: εὐωχημένοι, ζωμὸν ἀρυσάμενοι ἄρτοις κοίλοις καὶ μυστρία μιμουμένοις. ὅθεν καὶ τὸ ὄνομα τοῖς μυστρίοις, οἷον μυστίλιόν τι ὄν. ἐν ταύτῃ δὲ τῇ ἑορτῇ πάντες προῖκα ἤσθιον καὶ τὴν ἀθάραν καὶ ἄλλα τινά. μυστίλη δὲ καλεῖται κοῖλος ἄρτος, ἤγουν ἀθάρα· ἐν γὰρ τοῖς Θησείοις ἀθάραν ἤσθιον. ὁ δὲ νοῦς· ὦ πολλὰ ταλαιπωρήσαντες καὶ εἰς οὐδὲν ἑστιαθέντες, νῦν δὲ εὐτυχήσαντες. ὀλιγίστοις δὲ ἄρτοις ἤγουν ἀλφίτοις λέγει· τοῖς κοίλοις γὰρ ἄρτοις τοὺς ζωμοὺς ἀρυόμενοι ταχέως ἐκορέννυντο δι’ ἔνδειαν ἄρτου. πεποίηται δὲ ἡ λέξις, λέγω δὴ ἡ μυστίλη, παρὰ τὴν μάσησιν. ἢ διὰ τὸ πλῆθος τῶν ὄψων ὀλίγον ἄρτον ἤσθιον. ἢ τῷ ζωμῷ σχολάζοντες ὑπὸ τούτου ἐκορέννυντο.

μ 583 Μέμφις: ὄνομα κύριον· Μέμφεως· ἡ δοτικὴ Μέμφει· καὶ θηλυκὸν ἡ Μέμφις. Ἄπις, θεὸς Αἰγύπτου· τοῦτον Αἰγύπτιοι σελήνῃ τιμῶσι. καὶ ἱερὸς ἦν ὅδε ὁ βοῦς τῆς σελήνης, ὥσπερ ὁ Μέμφις τοῦ ἡλίου.

μ 584 Μεμφίτης: ἀπὸ τῆς Μέμφεως.

μ 585 Μέμφομαι· αἰτιατικῇ.

μ 586 Μεμφωλή: μέμψις.

μ 587 Μεμψιβολεῖν: μέμφεσθαι.

μ 588 Μεμψίμοιρος: φιλεγκλήμων.

μ 589 Μένανδρος, Ἀθηναῖος, κωμικὸς ἀρχαῖος. καὶ Μένανδρος ἕτερος, Ἀθηναῖος, ὁ Διοπείθους καὶ Ἡγεστράτης· περὶ οὗ πολὺς παρὰ πᾶσιν ὁ λόγος· κωμικὸς τῆς νέας κωμῳδίας, στραβὸς τὰς ὄψεις, ὀξὺς δὲ τὸν νοῦν καὶ περὶ γυναῖκας ἐκμανέστατος. γέγραφε κωμῳδίας ρηʹ καὶ ἐπιστολὰς πρὸς Πτολεμαῖον τὸν βασιλέα, καὶ λόγους ἑτέρους πλείστους καταλογάδην.

μ 590 Μένανδρος, Λαοδικεὺς τῆς παρὰ τῷ Λύκῳ τῷ ποταμῷ, σοφιστής. ἔγραψεν ὑπόμνημα εἰς τὴν Ἑρμογένους τέχνην καὶ Μινουκιανοῦ Προγυμνάσματα· καὶ ἄλλα.

μ 591 Μένανδρος, προτίκτωρ, ἱστορικός· ὃς λέγει περὶ ἑαυτοῦ· ἐμοὶ πατὴρ Εὐφρατᾶς ἐκ Βυζαντίου ὁρμώμενος ἦν· οὗτος δὴ οὖν ἥκιστα τῆς τῶν λόγων μετειλήχει παιδείας. Ἡρόδοτος μὲν οὖν ὁμόγνιος δέ μοι τῆς πρὸς τὸν νόμον ἀπογευσάμενος παιδείας εἶτα ἀφηνίασε τῆς περὶ ταῦτα σπουδῆς· ἀλλ’ ἔγωγε οὔτι χρῆναι ᾠόμην μὴ καὶ νόμοις ὁμιλῆσαι καὶ ἐς τέλος ἱκέσθαι τῶν πόνων· καὶ δὴ ἀφικόμην, ὥς μοι ὑπῆρχε δυνατόν. ἥκιστα δὲ ἐχρησάμην τῇ ἐπαγγελίᾳ τοῦ ἐπιτηδεύματος· οὐ γάρ μοι θυμῆρες ἦν ἀγωνίζεσθαι δίκας οὔτε μὴν ἐν τῇ βασιλείῳ στοᾷ θαμίζειν καὶ δεινότητι λόγων τὰς τῶν ἐντυγχανόντων οἰκειοῦσθαι φροντίδας. καὶ τὰ σπουδαῖα τοιγαροῦν παρεὶς καὶ τὰ χείριστα ἑλόμενος, κεχηνὼς περιενόστουν. καί μοι καταθύμιοι ἦσαν οἵ τε θόρυβοι τῶν χρωμάτων καὶ οἱ ἁμιλλητήριοι τῶν ἵππων ἀγῶνες, ἔτι γε μὴν καὶ ἡ παντόμιμος ὄρχησις. οὐ μὴν ἀλλὰ καὶ παλαίστραις ἐναπεδυόμην καὶ ἐς τοσοῦτον ἐξώκειλα ἀφροσύνης, ὡς καὶ τὸν φαινόλην ἀποδύσασθαι, συναποδύσασθαι δὲ αὐτῷ καὶ τὸ νουνεχές, καὶ ἄλλο ὅ τι ἐς βίου ἀγλάϊσμα. ἐπεὶ δὲ Μαυρίκιος τὸ βασίλειον διεδήσατο κράτος, τοῦτο μὲν προμηθέστατα ἔχων ἐς τοὺς ὑπηκόους, τοῦτο δὲ καὶ μουσῶν ἐραστὴς ποιημάτων τε καὶ ἱστορίας ἥδιστα ἐπαΐων, ὡς καὶ τὸ πολὺ τῆς νυκτὸς μέρος καταναλίσκειν περὶ τὰς τοιαύτας φροντίδας καὶ παρορμᾶν ἐντεῦθεν καὶ ὀξύνειν τοῖς χρήμασι τοὺς ἀμβλυτέρους τὸν λογισμόν, ἀγαπητῶς ἐν τῷ τότε ἔγωγε ἀλύων καὶ δυσανασχετῶν τῷ μὴ τὰ δέοντα ἔχειν, ἀναλογιζόμενος ἦν, ὡς οὐ χρεὼν ἀνόνητά με περινοστεῖν, ὥς τ’ ἂν οὖν μὴ διαπαντὸς κενεμβατοίην, ὡρμήθην ἐπὶ τήνδε τὴν συγγραφὴν ἄρξασθαι μετὰ τὴν ἀποβίωσιν Ἀγαθίου καὶ τῆς ἱστορίας ποιήσασθαι τὴν ἀρχήν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μ 592 Μενδαῖος: ὁ ἀπὸ τῆς Μένδης.

μ 593 Μένδη· πόλις μία τῶν ἐν Πελλήνῃ Μένδα, ὑπὸ Ἐρετριέων ᾠκισμένη.

μ 594 Μένδην: οὕτω καλοῦσι τὸν Πᾶνα Αἰγύπτιοι ὡς τραγοπρόσωπον, τῷ καὶ τὸν τράγον τῇ αὐτῶν διαλέκτῳ οὕτω καλεῖν· καὶ τιμῶσιν αὐτὸν ὡς ἀνακείμενον τῇ γονίμῳ δυνάμει· καὶ τιμῶσιν αὐτόν, ὥστε μὴ ἐσθίειν τράγους· ὀχευτικὸν γὰρ τὸ ζῷον. ἦν δὲ καὶ ἱερὸν τοῦ Μενδησίου παρ’ Αἰγυπτίοις, ἐν ᾧ ἄγαλμα τραγοσκελὲς ἦν, ὀρθὸν ἔχον τὸ αἰδοῖον.

μ 595 Μενδήσιον κέρας: τὸ τοῦ Νείλου στόμα.

μ 596 Μένεα πνείων: μεγάλα δυνάμενος.

μ 597 Μενεδάϊος ἵππος: ὁ πολεμιστήριος. σᾶμα τόδε φθιμένου μενεδαΐου εἵσατο Δᾶμις ἵππου, ἐπεὶ στέρνον τοῦδε δαφοινὸν Ἄρης τύψε. Μενεδάϊος, καὶ κατὰ τροπὴν Μενεδήϊος.

μ 598 Μενέδημος.

μ 599 Μενεαινέμεν: προθυμεῖσθαι.

μ 600 Μενεκλείδης.

μ 601 Μενεκράτης, κωμικός. δράματα αὐτοῦ Μανέκτωρ ἢ Ἑρμιονεύς.

μ 602 Μενεκράτης, Συρακούσιος, ἰατρός. οὗτος δὲ μισθὸν μὲν οὐδένα ἐκομίζετο τῆς θεραπείας· ἐθεράπευε γὰρ τὴν ἱερὰν νόσον, δούλους δὲ αὑτοῦ ὁμολογεῖν τοὺς θεραπευομένους ἀπῄτει καὶ Δία ἑαυτὸν ἐκάλει, θεοὺς δὲ τοὺς ἰαθέντας ὑπ’ αὐτοῦ, τιθεὶς ἑκάστῳ προσηγορίαν, τῷ μὲν Ἑρμοῦ, τῷ δὲ Ἀπόλλωνος.

μ 603 Μενέλαος: Δημοσθένης ἐν Φιλιππικοῖς. ἀδελφὸς Φιλίππου ὁμοπάτριος.

μ 604 Μενέλαος, Αἰγαῖος, ἐποποιός. ἔγραψε Θηβαΐδα ἐν βιβλίοις ια′, καὶ ἄλλα.

μ 605 Μενέμαχοι: καρτερικοί, μένοντες ἐν τῇ μάχῃ· οὓς Ὅμηρος μενεχάρμας καλεῖ.

μ 606 Μενεσθεύς: ὄνομα κύριον.

μ 607 Μενετοὶ θεοὶ καὶ μὴ ἀποδιδῶσι μισητίᾳ: ἀντὶ τοῦ ἀνεξίκακοι καὶ οὐκ εὐθέως τιμωρούμενοι, ἐπίμονοι καὶ βέβαιοι καὶ οὐκ εὐεξαπάτητοι. μισητία δὲ ἡ εἰς τὰ ἀφροδίσια ἀκρασία. μήποτε μέντοι γενικώτερόν ἐστιν ἡ ἀπληστία, ἡ αἰσχροκέρδεια.

μ 608 Μενεχάρμης: ὁ ὑπομονητικὸς ἐν μάχαις.

μ 609 Μένεχμος: ὄνομα κύριον.

μ 610 Μενζίτιον: ὄνομα τόπου.

μ 611 Μενθῆρες: αἱ φροντίδες.

μ 612 Μένιππος, ὁ Κυνικός. ζήτει ἐν τῷ φαιός.

μ 613 Μένιππος, κωμικός. τῶν δραμάτων αὐτοῦ ἐστι Κέρκωπες καὶ ἄλλα.

μ 614 Μενοεικής: ὁ αὐτάρκης. καὶ Μενοεικέα.

μ 615 Μένος: δύναμις, ὁρμή. διαφέρει δὲ τὸ μένος τοῦ θάρσους· τὸ μὲν γὰρ μένος ἐστὶ τοῦ σώματος, τὸ δὲ θάρσος τῆς ψυχῆς.

μ 616 Μενοῦνγε: ἐκ συνδέσμων τριῶν. τὸ ἀληθές.

μ 617 Μένω· γενικῇ. ἡ δὲ Ὀλυμπιὰς ἐπὶ τῶν ἑαυτῆς λογισμῶν ἔμενε.

μ 618 Μένων, Ἀθηναῖος. οὗτος δῆλος ἦν ἐπιθυμῶν πλούτου ἰσχυρῶς, ἐπιθυμῶν δὲ ἄρχειν, ὅπως πλείω λαμβάνοι, ἐπιθυμῶν δὲ τιμᾶσθαι, ἵνα πλείω κερδαίνοι· φίλος τε ἐβούλετο εἶναι τοῖς μέγιστον δυναμένοις ἵν’ ἀδικῶν μὴ δοίη δίκην. ἐπὶ δὲ τὸ κατεργάζεσθαι ὧν ἐπιθυμοίη συντομωτάτην ᾤετο ὁδὸν εἶναι διὰ τοῦ ἐπιορκεῖν τε καὶ ψεύδεσθαι καὶ ἐξαπατᾶν, τὸ δὲ ἁπλοῦν καὶ τὸ ἀληθὲς ἐνομίζετο αὐτῷ ἠλίθιον εἶναι. στέργων δὲ φανερὸς μὲν ἦν οὐδένα· ὅτῳ δὲ φαίη

Eulogikon public reading copy · View original HTML at eulogikon.org

φίλος εἶναι, τούτῳ ἔνδηλος ἐγίνετο ἐπιβουλεύων. καὶ πολεμίου μὲν οὐδενὸς κατεγέλα, τῶν δὲ συνόντων πάντων ὡς καταγελῶν ἀεὶ διελέγετο. καὶ τοῖς μὲν τῶν πολεμίων κτήμασιν οὐκ ἐπεβούλευε· χαλεπὸν γὰρ ᾤετο εἶναι τὰ τῶν φυλαττομένων λαμβάνειν· ἀλλὰ τὰ τῶν φίλων μόνος ᾤετο εἰδέναι ὅτι ῥᾷστον ἀφύλακτα λαμβάνειν. καὶ ὅσους μὲν αἰσθάνοιτο ἐπιόρκους καὶ ἀδίκους, ὡς εὖ ὡπλισμένους ἐφοβεῖτο, τοῖς δὲ ὁσίοις καὶ ἀλήθειαν ἀσκοῦσιν ὡς ἀνάνδροις ἐπειρᾶτο χρῆσθαι. ὥσπερ δέ τις ἀγάλλεται ἐπὶ θεοσεβείᾳ καὶ ἀληθείᾳ καὶ δικαιότητι, οὕτω Μένων ἠγάλλετο τῷ ἐξαπατᾶν δύνασθαι, τῷ πλάσαι ψευδῆ, τῷ φίλους διαγελᾶν· τὸν δὲ μὴ πανοῦργον ἀπαίδευτον ἐνόμιζεν εἶναι. καὶ παρ’ οἷς μὲν ἐπεχείρει πρωτεύειν, διαβάλλων φιλίαν, τοὺς πρώτους τούτῳ ᾤετο δεῖν κτήσασθαι. τὸ δὲ πειθομένους στρατιώτας παρέχεσθαι ἐκ τοῦ συναδικεῖν αὐτοῖς ἐμηχανᾶτο. τιμᾶσθαι δὲ καὶ θεραπεύεσθαι ἠξίου ἐπιδεικνύων μέν, ὅτι πλεῖστα δύναιτο καὶ ἐθέλοι ἂν ἀδικεῖν. εὐεργεσίαν δὲ κατέλεγεν, ὁπότε τις αὐτοῦ ἀφίσταιτο, ὅτι χρώμενος αὐτῷ οὐκ ἀπώλεσεν αὐτόν.

μ 619 Μεντίδιος: ὄνομα κύριον.

μ 620 Μέντορος: ὄνομα κύριον.

μ 621 Μέντοι: τὸ δὲ σὺν τῷ γέ παρ’ οὐδενὶ τῶν Ἑλλήνων.

μ 622 Μενοικεύς.

μ 623 Μενοινή: ἡ προθυμία.

μ 624 Μενοινῷος.

μ 625 Μενοίτιος: ὄνομα κύριον.

μ 626 Μεραρχίαι: αἱ δύο χιλιαρχίαι ἀνδρῶν ͵βμηʹ. οἱ δὲ καὶ τέλος ὀνομάζουσι· καὶ τὸν ἡγούμενον μεράρχην καὶ τελετάρχην.

μ 627 Μεριδαρχίας: μεριτίας. κατὰ δεκαρχίας.

μ 628 Μερίζω· αἰτιατικῇ.

μ 629 Μερίς: ἡ κληρονομία.

μ 630 Μερὶς οὐ πνίξ: τῶν δυνατωτέρων ἁρπαζόντων τὰς τροφὰς τῶν ἀσθενεστέρων καὶ ἐπὶ τούτῳ ἐκείνων πνιγομένων, ἐπεὶ ἄρα αὐτοῖς βοηθεῖν οὐκ ἠδύναντο, ἐπενοήθη ὁ διαμερισμός· καὶ ἕκαστος ἑκάστῳ τὸ ἴσον λαμβάνων ἐπεφώνει, μερὶς οὐ πνίξ. ἢ οὕτως γράφε, μερὶς οὐ πνίγει. ὅτε οὖν οἱ δυνατοὶ ἥρπαζον, ἦν πνίξ· ὅτε δὲ ἐπενοήθη ἡ μερίς, ἔλεγον οἱ πένητες, μερὶς οὐ πνίξ.

μ 631 Μερίτην: συμμεριστήν. Πολύβιος· καὶ πολλὰ περιελασάμενοι σώματα καὶ θρέμματα τούτων οὐδενὸς μερίτην ἐποιήσαντο τῶν ἁλόντων.

μ 632 Μερίτης: ὁ τινὸς πράγματος μεταλαγχάνων. Πολύβιος· ὁ δὲ φύλαξ εὐθὺς ἀνοίγει, ἐλπίζων καὶ πρὸς αὐτόν τι διατείνειν τὴν εὐαγρίαν διὰ τὸ μερίτην ἀεὶ γίνεσθαι τῶν εἰσφερομένων.

μ 633 Μερκηδῖνον: τόπος τις.

μ 634 Μερμαίρω: φροντίζω, ἢ χολῶ.

μ 635 Μέρμερα: μερίμνης ἄξια, χαλεπά.

μ 636 Μερμηρίζω: μεριμνῶ.

μ 637 Μερμερόης: ὄνομα κύριον. τὸν Μερμερόην ἡμῖν σημᾶναι, ὡς οὐκ ἔστιν ἀξιόλογος ἡ χώρα, οὐδὲ μὴν περιμάχητος, οὐδὲ βασιλικῆς ἔργον ἐκστρατιᾶς, ἀλλ’ ἓν ὑπάρχει τῶν ἐθνῶν τῶν περὶ τὸν Καύκασον.

μ 638 Μέρμις: τὸ σχοινίον.

μ 639 Μερόη: νῆσος κατὰ τὸν ὠκεανόν. εἰ καὶ τηλοτέρω Μερόης τεὸν ἴχνος ἐρείσεις.

μ 640

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Μερόλας: ὄνομα κύριον.

μ 641 Μέσαβον: τὸ μέσον τῶν βοῶν ξύλον.

μ 642 Μεσάγκυλος: μεσαιπόλιος, ὠμογέρων.

μ 643 Μέροπες, οἱ ἄνθρωποι. παρὰ τὸ μεμερισμένην ἔχειν τὴν ὄπα, ἤτοι τὴν φωνήν. ἡ εὐθεῖα ὁ Μέροψ.

μ 644 Μερόπη: ὄνομα κύριον. καὶ Μεροπίς, ἡ Κῶς νῆσος.

μ 645 Μεσσαπίων· ὅτι ἄρτος ὁ ψωμός. ἔστι δὲ καὶ ὄνομα τυράννου Μεσσαπίων, καὶ πρόξενον Ἀθηναίους φησὶ ποιήσασθαι Πολέμων.

μ 646 Μεσάτμῳ: τῷ κανόνι, τῷ μέσῳ καλάμῳ τοῦ ἱστοῦ.

μ 647 Μεσαύλιον: κυρίως μὲν ἡ μέση θύρα· κεῖται δὲ ἀντὶ τοῦ μεσαύλιον. ἢ Μεσαύλιον, ὁ μέσος τόπος τῆς αὐλῆς.

μ 648 Μεσαιπόλιος: ὁ μιξοπόλιος.

μ 649 Μεσαίτατος: ὁ μέσος. καὶ Μεσαίτατον, τὸ ὑψηλόν.

μ 650 Μεσεγγύημα· μεσεγγύημά ἐστιν, ὅταν οἱ συντιθέμενοι πρὸς ἀλλήλους περὶ πραγμάτων τῶν οὐ κατὰ τρόπον οὐδὲ δικαίως ἔσεσθαι μελλόντων, ἢ περὶ ὧν τις βλάβη γενήσεται τῷ κοινῷ τῆς πόλεως, ὑπὲρ τοῦ πραχθῆναι τὰ κατὰ τὰς συνθήκας, μισθόν τινα ὁρίσαντες παρακατατιθῶνται κοινῷ φίλῳ τὸ ἀργύριον, ὅπως ἂν ἀμφοτέροις τοῖς μέρεσι δοκῇ, ἂν ἄρα ἐκπραξάμενοι τὰ στοιχηθέντα βεβαιώσωσι.

μ 651 Μεσεγγύημα: τὸ ὁμολογηθὲν ἀργύριον παρ’ ἀνδρὶ μέσῳ γινομένῳ ἐγγυητῇ ἀποδόσεως. καὶ μεσεγγυήσασθαι τὸ ποιῆσαι τοῦτο λέγεται.

μ 652 Μέσερ: ἡ Αἴγυπτος. καὶ ζήτει ἐν τῷ Μεσρέμ.

μ 653 Μεσέγγυος: μεσίτης, ἐγγυητής, μέσος δύο μερῶν.

μ 654 Μεσεγγυοῦνται: ἐγγυηταὶ γίνονται, ἢ ἐγγυητὰς ποιοῦνται. ὡς καὶ Ἰσοκράτης ἐν τῷ Κατὰ τῶν σοφιστῶν.

μ 655 Μεσηγύς: μεταξύ.

μ 656 Μεσῆϊς πηγή· καὶ Μεσήϊδος γῆς.

μ 657 Μεσῆλιξ: ὁ μέσος τῇ ἡλικίᾳ.

μ 658 Μεσημβρίζω. καὶ Μεσημβρινός.

μ 659 Μεσήνη: ὄνομα πόλεως. καὶ Μεσήνιος, ὁ ἀπὸ τῆς Μεσήνης.

μ 660 Μεσιτεύειν: ἀναμέσον κεῖσθαι. τὰ δὲ χρήματα μεσιτεύειν ἐν Κύπρῳ συνετάξαντο, παρ’ οἷς ἂν αὐτὸς εὐδοκηθῇ.

μ 661 Μεσίτης: ὁ εἰρηνοποιός.

μ 662 Μέσμα: ὄνομα πόλεως.

μ 663 Μεσσόα: τόπος.

μ 664 Μεσοβασιλεύς· μετὰ θάνατον Ῥωμύλου, ἀναρχίας οὔσης ἐν τῇ Ῥώμῃ, ἐνιαυτὸν ὅλον ἡ σύγκλητος τὸ κῦρος τῶν κοινῶν εἶχε πραγμάτων πενθήμερον ἀρχὴν τοῖς ἐπιφανεστέροις τῶν βουλευτῶν ἐκ διαδοχῆς κατανέμουσα· οὓς μεσοβασιλεῖς ὠνόμασεν.

μ 665 Μεσόγεων: αἰτιατική. Μεσόγειος δὲ ἀντὶ τοῦ μέσος κατὰ γῆν.

μ 666 Μεσόδμη: τὸ μέσον.

μ 667

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Μεσολαβηθείς· τὸν δὲ υἱὸν ἔπεισεν, εἰ τύχοι μεσολαβηθεὶς αὐτὸς ὑπὸ τῆς πεπρωμένης, ἐξενεγκεῖν τὸν κατὰ Ῥωμαίων πόλεμον. τουτέστιν ἐν τῷ μεταξὺ συσχεθείς.

μ 668 Μεσομήδης, Κρής, λυρικός, γεγονὼς ἐπὶ τῶν Ἀδριανοῦ χρόνων, ἀπελεύθερος αὐτοῦ καὶ ἐν τοῖς μάλιστα φίλος. γράφει οὖν εἰς Ἀντίνοον ἔπαινον, ὃς ἦν Ἀδριανοῦ παιδικά· καὶ ἄλλα διάφορα μέλη. ὅτι Ἀντωνῖνος τὸ τοῦ Σύλλου μνημεῖον ἀναζητήσας ἐπεσκεύασε, τῷ τε Μεσομήδει τῷ τοὺς κιθαρῳδικοὺς νόμους γράψαντι κενοτάφιον ἔχωσε· τῷ μὲν ὅτι καὶ κιθαρῳδεῖν ἐμάνθανεν· ἐκείνῳ δὲ ὅτι τὴν ὠμότητα αὐτοῦ ἐζήλου.

μ 669 Μέσον: τὸ μετέχον τοῦ ἴσου. ἐπὶ γὰρ τῶν ἠθικῶν ἀρετῶν αἱ μὲν ὑπερβολαὶ καὶ ἔνδειαι, ἐναντίαι οὖσαι ἀλλήλαις, ὑπὸ τὴν κακίαν εἰσίν, αἱ δὲ ἀρεταὶ μέσαι αὐτῶν οὖσαι ὑπ' ἄλλο γένος εἰσίν, ὑπὸ γὰρ τὴν ἀρετήν. ἢ ὅτι συμβέβηκε ταύταις οὐ μόνον μέσαις εἶναι, ἀλλὰ καὶ ἐναντίαις ἑκατέρων τῶν ἄκρων· ἐκ γὰρ τοῦ μεγάλου καὶ μικροῦ, ὄντος τοῦ μὲν ἐν ὑπερβολῇ, τοῦ δὲ ἐν ἐνδείᾳ, καὶ τὸ μεταξὺ αὐτῶν, τὸ ἴσον, ὑπὸ ταὐτὸν γένος. ἔστιν οὖν κυρίως μέσον τὸ κατὰ μίξιν τῶν ἄκρων τοιοῦτον ὄν· καὶ ἀναγκαῖον ὑπὸ ταὐτόν ἐστι γένος τοῖς ἄκροις. ἡ δὲ ἀρετὴ οὐχ οὕτω τῶν κακῶν μέση· ὁμωνύμως γὰρ τὸ μέσον λέγεται· λέγεται γὰρ καὶ ἐν κύκλῳ μέσον τὸ κέντρον· ἀλλὰ καὶ ἐν ὅροις μέσος ὁ τῷ μὲν ὑποκείμενος, τοῦ δὲ κατηγορούμενος, ἢ ὅλως ὁ δὶς λαμβανόμενος ἐν ταῖς τῶν προτάσεων συμπλοκαῖς. καὶ τοῖς τοιούτοις λέγεται μέσον, ὅταν ἀμφοῖν μετέχῃ τῶν ἄκρων· τὴν θέσει γὰρ καὶ μίξει καὶ κράσει τῆς σχέσεως αἰτίαν ἐν ἅπασιν ὁ μέσος ἔχει. Ὅμηρος· εἰς μέσον ἀμφοτέροισι δικάσατε. οὐκ ἔστιν εἰς τὸ μέσον παρελθόντες, ἀλλὰ μέσως δικάσατε, μήτε τούτῳ προσχαριζόμενοι μήτε ἐμοί. διὸ καὶ ἐπιφέρει, μηδ' ἐπ' ἀρωγῇ. ἐγὼ δ' ἔχομαι μέσος. ἀντὶ τοῦ ἥττημαι. ἀπὸ μεταφορᾶς τῶν ἀθλητῶν τῶν τὰ μέσα ληφθέντων. ὅτι μεσότης καὶ μέτρον οὐ δύνανται μᾶλλον καὶ ἧττον γενέσθαι· ἡ δὲ ὑπερβολὴ καὶ ἡ ἔλλειψις, ἐπειδὴ ἐπ' ἄπειρον προχωρεῖ, διὰ τοῦτο ἀόριστον αὐτὴν ἔλεγον δυάδα.

μ 670 Μεσορῶν: μέσην ὁδεύων.

μ 671 Μεσότης: ἀληθές. ὅτι μεσότητές εἰσιν οὐκ ἀκρότητες αἱ τῶν ἠθῶν ἀρεταί, μάλιστα ἡ δικαιοσύνη.

μ 672 Μεσουρανήσαντος ἡλίου.

μ 673 Μεσῶ: τρίτης συζυγίας τῶν περισπωμένων. Εὐριπίδης Μηδείᾳ· ζηλῶ ς'· ἐν ἀρχῇ πῆμα κοὐδέπω μεσοῖ.

μ 674 Μεσρέμ· ὄνομα κύριον. ὁ ἐκ τοῦ Χάμ; ἐξ οὗ καὶ Μεσρέμ, ἡ Αἴγυπτος, ἡ νυνὶ Μέσερ ὀνομαζομένη. καὶ Χὰμ σκηνώματα, ἡ Αἴγυπτος. καὶ ζήτει ἐν τῷ Αἴγυπτος.

μ 675 Μεστοῦται: πληροῦται.

μ 676 Μέσφ' ὅτε: ἕως οὗ.

μ 677 Μέτα: μέτεστιν. ὦ κακὴ κεφαλή· οὔ σοι τούτων μέτα. ὅ ἐστι μέτεστι.

μ 678 Μετά: ὁ τοῦ Ἀρχιβίου Ἀπολλώνιος πέντε δηλοῦν φησιν· ἐνθάδε καὶ μετὰ πᾶσιν. ἐπί· ἐς Τεμέσην μετὰ χαλκόν. οὐ· μετόπισθεν νεὼς κυανοπρώροιο. ὑπό· χαῖται δ' ἐρρώσαντο μετὰ πνοιῇς ἀνέμοιο. εἰς· μετὰ ἔθνος ἑταίρων. σύν· σὺν δ' ἂν ἐγὼ μετὰ τοῖσι. πρός· σφαῖραν ἔπειτ' ἔρριψε μετ' ἀμύμονα βασίλειαν. ὁ δὲ ἔκλεισε τὴν ῥάβδον πυθμένι καὶ πώματι, καὶ μετὰ χεῖρας εἶχεν ἀεὶ οὔτε μεθ' ἡμέραν κατατιθέμενος καὶ νύκτωρ ὑπὸ τὴν κεφαλὴν ὑποτιθέμενος. καὶ αὖθις· ἐμοὶ δ' ἴσον μὲν τῆσδε τῆς χώρας μέτα. ἀντὶ τοῦ μέτεστιν, ὅσον περ ὑμῖν· ἄχθομαι δὲ καὶ φέρω τὰ τῆς πόλεως ἅπαντα βαρέως πράγματα.

μ 679 Μεταβαλών: στραφείς.

μ 680 Μεταβαίνω· γενικῇ.

μ 681

Μεταβολή: κατὰ δʹ τρόπους γίνεται· φθορᾶς, ἀλλοιώσεως, φθίσεως, αὐξήσεως. καὶ ἐν τέσσαρσι θεωρεῖται κατηγορίαις· ἐν οὐσίᾳ μὲν ὡς γένεσις καὶ φθορά· ἐν ποσῷ δὲ αὔξησις καὶ μείωσις· ἐν ποιῷ δὲ ὡς ἀλλοίωσις, οἷον λεύκανσις, μέλανσις· ἐν δὲ τῷ ποῦ, οἷον ἄνω, κάτω, ἐν Λυκείῳ, ἐν ἀγορᾷ. ἐπὶ πλέον δὲ τῆς κινήσεως ἡ μεταβολή· τὸ γὰρ κινούμενον δεῖ εἶναι, ἵνα καὶ κινῆται, τὸ δὲ γινόμενον ἢ φθειρόμενον οὐ μένει ὅπερ ἦν. καὶ ὅτι τὸ κινούμενον περὶ τὸ αὐτὸ ὑποκείμενον ἴσχει μεταβολήν, μηδὲν τῆς κινήσεως εἰς τὴν οὐσίαν τοῦ ὑποκειμένου συντελούσης. τὸ μέντοι γινόμενον καὶ φθειρόμενον οὐκ ἐν ὑποκειμένῳ γίνεται, ἀλλ' οἷον ἐξ ὕλης εἰς εἶδος μεταβάλλει τὸ γινόμενον, καὶ τὸ φθειρόμενον ἔμπαλιν. Μεταβολή ἐστιν ἡ δὶς ἐπὶ τὸ αὐτὸ γινομένη κλίσις κατὰ νώτου τὰς τῶν ὁπλιτῶν ὄψεις μετατιθεῖσα· ἢ δύο διαφοραί, ἡ μὲν ἀπὸ τῶν πολεμίων, ἣν καὶ ἐπ' οὐρὰν ἐπονομάζουσιν, ἡ δὲ ἐπὶ τοὺς πολεμίους. ἔνιοι δὲ καὶ αὐτὴν οὕτως ὑπογράφουσι· μεταβολή ἐστι μετάληψις τῆς προϋπαρχούσης ἐπιφανείας εἰς τὴν κατ' οὐρὰν ἐπιφάνειαν, ἢ ἀπὸ ταύτης ἐπὶ τὴν ἐναντίαν. καὶ ἡ μὲν ἀπὸ τῶν πολεμίων μεταβολὴ δὶς ἐπὶ δόρυ κλινάντων γίνεται, ἡ δ' ἐπὶ τοὺς πολεμίους δὶς ἐπ' ἀσπίδα.

μ 682 Μετάβολοι: πραγματευταί, μεταπράται.

μ 683 Μέταβος: ὄνομα κύριον.

μ 684 Μετὰ βραχύ.

μ 685 Μετὰ γὰρ νοσούντων μαίνεσθαι καλόν: ὅτι χρὴ συνεξομοιοῦσθαι τοῖς παροῦσιν. ὅμοιον τῷ, ὁ μαινομένοις μὴ συμμαινόμενος, οὗτος μαίνεται.

μ 686 Μεταγένης: ὄνομα κύριον.

μ 687 Μεταγενής: μεταγενέστερος.

μ 688 Μεταγένης, Ἀθηναῖος, Δύλου παῖς, κωμικός. τῶν δὲ αὐτοῦ δραμάτων ἐστὶ ταῦτα· Αὖραι, Μαμμάκυθος, Θουριοπέρσαι, Φιλοθύτης, Ὅμηρος ἢ Ἀσκηταί.

μ 689 Μεταγειτνιών: δεύτερος μὴν παρ' Ἀθηναίοις. ἐν δὲ τούτῳ Ἀπόλλωνι Μεταγειτνίῳ θύουσι.

μ 690 Μεταδιδάξαι: τὸ τὴν προτέραν ἀφεῖναι βουλὴν καὶ ἐλθεῖν ἐπ' ἄλλην. καὶ οὔτε μεταδιδάσκοντος ἐπείθοντο τοῦ ἡγεμόνος οὔτε ὀλοφυρομένου καὶ ἱκετεύοντος ἔπασχόν τι πρὸς τὰς δεήσεις.

μ 691 Μεταδίδωμι· δοτικῇ. γενικῇ δέ· ὑμεῖς δέ, ὦ Ἀθηναῖοι, πάσης τῆς πόλεως μεταδόντες αὐτῷ.

μ 692 Μεταδιῶξαι: ἐπιζητῆσαι, ἐφευρεῖν. μετὰ τῶν ἐπιτηδείων ὑπεξελθόντα ἑτέρων μεταδιῶξαι χώραν.

μ 693 Μεταδόρπια: ἐπίδειπνα.

μ 694 Μετάδος ἐνδεεῖ ἄρτων.

μ 695 Μετακαλοῦντες: ἀναπείθοντες. τοὺς μὲν ἀπειλῇ ἀναστέλλοντες, τοὺς δὲ καὶ βίᾳ μετακαλοῦντες.

μ 696 Μετακλείδης· ζήτει ἐν τῷ Ἀθηναίας.

μ 697 Μετακόσμιον: τοῦ κόσμου κρείττονα.

μ 698 Μεταλαμβάνω καὶ Μεταλαγχάνω· γενικῇ.

μ 699 Μεταλαγχάνει: μετήει, ἀφυστερεῖ ἢ ἀποτυγχάνει κλήρου.

μ 700 Μεταλλάσσω· αἰτιατικῇ.

μ 701 Μετὰ Λέσβιον ᾠδόν: παροιμία λεγομένη ἐπὶ τῶν τὰ δεύτερα φερομένων· οἱ γὰρ Λακεδαιμόνιοι τοὺς Λεσβίους κιθαρῳδοὺς πρώτους προσεκαλοῦντο· ἀκαταστατούσης γὰρ τῆς πόλεως αὐτῶν χρησμὸς ἐγένετο τὸν Λέσβιον ᾠδὸν μεταπέμπεσθαι· οἱ δ' ἐξ Ἀντίσσης Τέρπανδρον ἐφ' αἵματι φεύγοντα μεταπεμψάμενοι ἤκουον αὐτοῦ ἐν τοῖς συσσιτίοις καὶ κατεστάλησαν. ὅτι οἱ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Λακεδαιμόνιοι στασιάζοντες μετεπέμψαντο ἐκ Λέσβου τὸν μουσικὸν Τέρπανδρον, ὃς ἥρμοσεν αὐτῶν τὰς ψυχὰς καὶ τὴν στάσιν ἔπαυσεν. εἴποτε οὖν μετὰ ταῦτα μουσικοῦ τινος ἤκουον οἱ Λακεδαιμόνιοι, ἔλεγον μετὰ Λέσβιον ᾠδόν.

μ 702 Μεταλλεύει: μεταφέρει. καὶ ἀντὶ τοῦ ἐρευνᾷς, πολυπραγμονεῖς. ἐν Ἐπιγράμμασι· τῶν τί μεταλλεύεις τοῦτον μυχόν, ὦ φιλόλιχνε;

μ 703 Μεταλλεία: ἡ ἔρευνα τοῦ χρυσοῦ.

μ 704 Μεταλλεῖς: οἱ τὰ μέταλλα ἐργαζόμενοι οὕτως ὀνομάζονται. ὅτι Φαῦνος υἱὸς Πίκου τοῦ καὶ Διός, ὃν Ἑρμῆν ἐκάλεσαν εἰς ὄνομα τοῦ πλανήτου ἀστέρος, μέταλλα ἐφεῦρε χρυσοῦ καὶ ἀργύρου καὶ σιδήρου καὶ τὴν τούτων ἐργασίαν παρέδωκε τοῖς δυτικοῖς, ὡς καὶ πλουτοδότην αὐτὸν ὑπὸ τῶν ἐγχωρίων καλεῖσθαι.

μ 705 Μεταλήξαντι: παυσαμένῳ.

μ 706 Μεταλῆσαι: πολυπραγμονῆσαι.

μ 707 Μεταμαθεῖν: μεταγνῶναι. παύσασθαι. Ἀγαθίας· ὑμεῖς δὲ ὀμωμοκότες ἀνέδην παρεσπονδήσατε. ἀλλ' εἴγε καὶ νῦν ἐθελήσοιτε μεταμαθεῖν τὸ συνοῖσον, οὐδέν τι ἔλαττον ἕξετε. κυρίως δὲ μεταμαθεῖν ἔλεγον τὸ μετὰ ταῦτα ἕτερόν τι μαθεῖν, ἀφέμενον τοῦ πρώτου. Ἀριστοφάνης Πλούτῳ· οὐδ' ἂν μεταμάθοις; οὐδ' ἄν μοι δοίης γε τὸν Πλοῦτον αὐτὸν καὶ τὸ Βάττου σίλφιον. καὶ μετέμαθεν Ἑβραῖος ὢν τὴν τῶν Ἀσσυρίων δυσσέβειαν. ἀντὶ τοῦ ἠλλάξατο.

μ 708 Μεταμέλει: μετανοεῖ, μετάμελος γίνεται. εἰ δὲ ἤδη μεταμέλει τούτων Ἀντωνίῳ καὶ ξυνομολογεῖ οὐκ ἀπὸ θυμοῦ εἶναι φιλίαν καὶ συμμαχίαν Ῥωμαίοις ποιήσασθαι.

μ 709 Μεταμέλεια: πάθος ἀνθρώπινον. τὸ δὲ θεῖον μεταμελείας ἀμύητον. μεταβολαῖς δὲ συγχωρεῖ περιπίπτειν ὥσπερ οἰκονομικῶς, ὡς τῶν Ἰουδαίων τὴν ἱερωσύνην κατέπαυσε καὶ τὴν βασιλείαν Ἀσσυρίων καὶ Βαβυλωνίων καὶ Μακεδόνων.

μ 710 Μεταμείβων: μεταλλάσσων.

μ 711 Μετὰ μουσῶν: ἐπὶ τοῦ πεπαιδευμένου· ἢ κοινῇ ἐπὶ τοῦ συνόντος ἀπαιδεύτου τοῖς πεπαιδευμένοις. καθ' ὑπόκρισιν δὲ ἀναγνωστέον.

μ 712 Μεταμώνιος: μάταιος, πρὸς οὐδὲν χρήσιμος. Ἀριστοφάνης· ἐς κόρακας βαδιῇ μεταμώνιος.

μ 713 Μεταναστεύου: φεῦγε, μετοίκει.

μ 714 Μετανάστης: μέτοικος, φυγάς.

μ 715 Μετανάστρια: ἡ πέρδιξ. οὐκέτι μου, τλῆμον σκοπέλων μετανάστρια πέρδιξ, πλεκτὸς λεπταλέοις οἶκος ἔχει σε λύγοις.

μ 716 Μετανεγνώσθη: μετεπείσθη, καὶ πέπαυται τοῦ θυμοῦ. εὖτε γ' ὢν ἐξ ἀέλπτων Αἴας μετανεγνώσθη θυμὸν Ἀτρείδαις.

μ 717 Μετανίσταμαι· γενικῇ.

μ 718 Μετάνοια.

μ 719 Μεταξύ: ἀναμέσον. Τραϊανὸς δὲ τῇ κοινωνίᾳ τῶν ἔργων ἐκούφιζε τοῦ πλήθους τὸν κάματον καὶ μεταξὺ πορευόμενος ἄλλοτε ἄλλως ἔταττε.

μ 720 Μεταξύ: ἔτι, οὐ πρὸ πολλοῦ. ὁ δὲ Ἀλέξανδρος μεταξὺ πίνων καὶ ἀναφλεχθεὶς ὑπὸ τῆς μέθης πρὸς ἔριν ἦλθε πρὸς Κλεῖτον καὶ λόγχην ἁρπάσας παρά του τῶν δορυφόρων διήλασε τοῦ Κλείτου τὴν λόγχην, ὥσπερ οἰστρηθείς. καὶ αὖθις· ἐξάπτεται δὲ αὐτῷ μεταξὺ πίνοντι ὀργὴ πρός τινα συμπότην μὲν τότε, κοινωνὸν δὲ τῶν φόνων.

μ 721

Μεταξυλογία: τὸ πρὸς βραχὺ παραλιπόντα τὴν παροῦσαν ὑπόθεσιν, περὶ ἑτέρας κινῆσαι τὸν λόγον. πρὸς βραχὺ ὁ λόγος ἐπέπαυτο αὐτῷ περὶ τῆς χώρας, καὶ αὖθις ὥσπερ ἐν μεταξυλογίᾳ τινι περὶ Ἄμβρου τοῦ Σαρακηνοῦ διελεγέσθην ἄμφω.

μ 722 Μεταπέμπομαι· αἰτιατικῇ.

μ 723 Μετάπεμπτος: προσκληθείς.

μ 724 Μεταπήδα: διάβαινε, μετέρχου. Ἀριστοφάνης· ταχὺς δ’, ὅταν εἰς ἄπορον ἐμπέσῃς, ἐπ’ ἄλλο πήδα νόημα φρενός. οὗ πόρον οὐκ ἔστιν εὑρεῖν. φησὶν ὅτι ἐὰν ἡ διάνοια εἰς ζήτημα ἄπορον ἐμπέσῃ, μετάβηθι ἐπ’ ἄλλο. σκώπτειν διὰ τούτων βούλεται τὸν Σωκράτην ὡς χλευαζόμενον ἐν ταῖς συζητήσεσι καὶ μεθιστάμενον ὑπὸ στενοχωρίας. διδάσκει αὐτόν, ὅτι ἐὰν ἀπορήσῃς εἴς τι, ταχέως ἐπ’ ἄλλο πήδα νόημα. ὁ δὲ ὑποτιθέμενος ἄλλῳ, δηλονότι αὐτὸς ἐν πείρᾳ γενόμενος τῶν ὅσα λέγεται, ὑποτίθεται.

μ 725 Μεταπόντιος: ὄνομα κύριον. καὶ θηλυκῶς ὄνομα πόλεως.

μ 726 Μεταποιεῖσθαι: ἀντὶ τοῦ ποιεῖσθαι. Πλάτων Πολιτικοῖς· ἥκιστα βασιλικῆς μεταποιουμένους τέχνης. ἀντιποιουμένους. Θουκυδίδης ἐν τῇ λοιμικῇ καταστάσει· καὶ μάλισθ’ οἱ ἀρετῆς μεταποιούμενοι. σημαίνει ἀντιποιούμενοι.

μ 727 Μεταποίνιον· τὴν δίκην, τὴν ἔφορον τῶν ὅλων, μεταποίνιον.

μ 728 Μεταποιοῦμαι· γενικῇ. φροντίζω, προνοοῦμαι. Μεταποιῶ δὲ τὸ μεταβάλλω· αἰτιατικῇ. ἐπειδή, φησί, μεταποιήσει τοὺς νόμους, καταλευσθήτω ὁ Στέφανος.

μ 729 Μεταπύργιον: ἐν μέσῳ οἰκοδόμημα τῶν ἐπὶ τοῦ τείχους πύργων. οὕτως καὶ Θουκυδίδης καὶ Λυσίας.

μ 730 Μετάρσιος: μετέωρος, ὑψηλός.

μ 731 Μεταρρυθμίζεται.

μ 732 Μέτασσαι: τὰ ὕπαρνα πρόβατα.

μ 733 Μετασοβῶν: ἀποδιώκων.

μ 734 Μετασπώμενος: ἐπακολουθήσας, μεταδιώξας.

μ 735 Μεταστοιχειοῦσα: μετασχηματίζουσα. μεταπλάττουσα· ὡς ἀναστοιχειοῖ, μεταπλάττει.

μ 736 Μετασχεῖν: ἐπιλαβεῖν.

μ 737 Μετατάξασθαι: ἀντὶ τοῦ μετελθεῖν.

μ 738 Μετὰ ταῦτα.

μ 739 Μετὰ τὴν ἐν Μαραθῶνι μάχην καὶ μετὰ τὸν πόλεμον ἡ συμμαχία: ἐπὶ τῶν ἐπὶ ὑποθέσει τινὶ καθυστερησάντων.

μ 740 Μετάτροπος αὔρα: ἀντὶ τοῦ ἡ μεταβληθεῖσα.

μ 741 Μέταυλος: ἡ ῥυπαρὰ λεγομένη αὐλή, οὗ ὄρνιθες ἦσαν.

μ 742 Μετάφερε σαυτόν. ὅτι προσήκει ἑαυτοὺς μεταφέρειν καὶ μεταχειρίζεσθαι τὰ πράγματα.

μ 743 Μεταφρένων: μεταξὺ τῶν ὤμων.

μ 744 Μεταφῦναι: μεταπλασθῆναι.

μ 745 Μεταχειρίζειν: ἀντὶ τοῦ μεταχειρίζεσθαι. Θουκυδίδης δʹ.

μ 746 Μεταχειρίζομαι· αἰτιατικῇ.

μ 747 Μεταχειρίσαι: τουτέστιν ἐναλλάξαι, ἤγουν ἀπὸ πεντηκοντήρων ποιεῖν τριήρεις.

μ 748

Μεταχρονία: ἡ εἰς ὕψος φερομένη. τίς γὰρ ἐμοὶ σέο μισθὸς ἐπάξιος, ἥν σε διδάξω ὑψοῦ ὑπὲρ πόντοιο μεταχρονίην ποτέεσθαι;

μ 749 Μεταχρωννύντες: μετασχηματίζοντες.

μ 750 Μεταίτιον· Ἡρόδοτος· τῶν δὲ πᾶν γὰρ ἦν τὸ πλῆθος μεταίτιον, οὐκ ἐδέκοντο τοὺς λόγους.

μ 751 Μέταιτος: ἐπαίτης, προσαίτης. οὕτω τε μέταιτος ἐτελεύτησε καὶ χρημάτων ἄπορος, ὡς κοινοῖς ταφῆναι χρήμασι.

μ 752 Μεταίχμιον: μεταξὺ δύο φαλάγγων τοῦ πολέμου.

μ 753 Μετεβάλετο: ηὐτομόλησεν. ὁ δὲ ἅμα τῷ εἰς ὄψιν ἐλθεῖν μετεβάλετο πρὸς τοὺς πολεμίους.

μ 754 Μετέθετο: ηὐτομόλησεν. ὁ δὲ ὢν τὰ πάντα νεώτερος καὶ τὸ πλέον μετεωρισθεὶς ἀρχῆς μετέθετο ἑκουσίως πρὸς τὸν βάρβαρον.

μ 755 Μετεκίαθον: μετῆλθον.

μ 756 Μετελεύσομαι: ἐπελεύσομαι.

μ 757 Μετελθών: ἐπελθών.

μ 758 Μετ’ ἐμέ: πρός με.

μ 759 Μετεμελήθη. Μεταμέλεια ἐπὶ θεοῦ οὐκ ἔστιν, ἀλλὰ τῆς παιδείας φησὶ τὴν παῦλαν μεταμέλειαν.

μ 760 Μετεμόσχευσε: μετεφύτευσε.

μ 761 Μετ’ ἐναργείας: μετ’ ἀληθείας.

μ 762 Μετένεγκε· μετενέγκαι δέ.

μ 763 Μετεξέτεροι: παρ’ Ἡροδότῳ ἀντὶ τοῦ ἔνιοι. οἱ δὲ μετεξέτεροι αὐτῶν οἱ μὲν πρὸς κύβους, οἱ δὲ πρὸς ὕπνον ἐτρέποντο.

μ 764 Μετέωρα: ὑψηλά. Ἀγαθίας· τὰ δὲ τῆς Ἰταλίας πολίσματα μετέωρα ἦν ἅπαντα καὶ δεδονημένα. ἀντὶ τοῦ ἕτοιμα πρὸς ἐπιχείρησιν.

μ 765 Μετεωρίσαντες.

μ 766 Μετεωρισθέντων: ἐπαρθέντων. μετεωρισθέντων δὲ τῶν Βοιωτῶν διὰ τὴν εὐημερίαν, τούτους Χαβρίας ἐταπείνωσε.

μ 767 Μετεωρισμός: ἡ ὑπερηφανία.

μ 768 Μετεωροκοπεῖς: μετέωρα πέτη καὶ μάτην καὶ ὡς ἔτυχε κάμνεις. μετεωροκοπεῖν δέ ἐστι κυρίως τὸ τῷ πλάτει τῆς κώπης ματαίως τὴν θάλασσαν τύπτειν. καὶ μετεωρολέσχους τοὺς φιλοσόφους ἐν Νεφέλαις, ὅτι τὰ οὐράνια περισκοποῦσι. μετενήνεκται δὲ ἡ λέξις τὸ μετεωροκοπεῖν παρὰ τὸ τί θαλαττοκοπεῖς. ἐπὶ γὰρ τοῦ σφοδροῦ τὸ κόπτειν παραλαμβάνεται. καὶ ἀλλαχοῦ· θαλαττοκοπεῖς καὶ πτερυγίζεις.

μ 769 Μετεωρολέσχαι: περὶ οὐρανοῦ φλυαροῦντες.

μ 770 Μετέωρον: ἐφ’ ὕψους. οἱ γὰρ δορυφόροι μετέωρον ἀράμενοι τὸν Σύφακα εἰς τὸν Τριακοντόποδα καλούμενον ἐκόμισαν, ῥίψαντες κάτω. Ἰώσηπος· ἄμεινον δ’ εἶναι μετέωρον ἐν φόβῳ τὸν αἴτιον καταλείπειν.

μ 771 Μετεωροπολῶν: τὰ οὐράνια σκοπῶν. καὶ Μετεωροπορῶν.

μ 772 Μετέωρος: ὁ ἤδη πρὸς πρᾶξίν τινα ηὐτρεπισμένος. μετῆλθε τὰς πόλεις μετεώρους πρὸς ἀπόστασιν οὖσας. καὶ αὖθις· πάλαι μετέωρος ὢν πρὸς τὴν τῆς Ὀλυμπίας θέαν ὥρμησε. καὶ Ἰώσηπος· μετεώρους ὄντας ἐπὶ τῷ μέλλοντι πολέμῳ τοὺς πολλοὺς ἐσπάρασσεν. ἦσαν δὲ μετέωροι ταῖς ψυχαῖς καὶ πρὸς τὸ μέλλον ἔτι σαλεύοντες. καὶ αὖθις· ὁ δὲ μετέωρος ἦν πρὸς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πᾶσαν καινοτομίαν· διὸ καὶ προθύμως ὑπήκουσε τοῖς παρακαλουμένοις. μετέωρος ἦν ἡ Ἑλλάς. παρὰ Θουκυδίδῃ. ἀντὶ τοῦ ἐκεκίνηντο καὶ οὐχ ἡσύχαζον.

μ 773 Μετεώρους νῆας: παρὰ Θουκυδίδῃ ἀντὶ τοῦ πελαγίους καὶ μὴ ἐπ' ἀγκυρῶν ἱσταμένας, ἀλλ' ἀπεχούσας τῆς γῆς. ἐκ μεταφορᾶς τῶν ἀπεχόντων τῆς γῆς καὶ ἐν ὄρει ὄντων. ἢ παρὰ τὸ ἀφεῖναι τὴν γῆν καὶ περὶ τὸν ἀέρα λοιπὸν εἶναι.

μ 774 Μετέωροι· ἦσαν δὲ μετέωροι ταῖς ψυχαῖς καὶ πρὸς τὸ μέλλον ἔτι σαλεύοντες.

μ 775 Μετεωροφένακας: οὕτω καλεῖ τοὺς διὰ τῶν μετεώρων ἀπατῶντας Ἀριστοφάνης· φενακίζειν γὰρ τὸ ἐξαπατᾶν.

μ 776 Μετερρυθμίζετο.

μ 777 Μετέρχομαι· αἰτιατικῇ.

μ 778 Μετέσχε· γενικῇ.

μ 779 Μετέχω· γενικῇ.

μ 780 Μετειλήχει· γενικῇ. μετέσχεν.

μ 781 Μετειληχότα: μεταλαβόντα.

μ 782 Μέτειμι: ἐξετάζω, ἀνακρίνω. μετέρχομαι.

μ 783 Μετεῖναι: μετιέναι, ἐπεξελθεῖν. Ἡρόδοτος· πρῶτον μὲν τοὺς μάγους, οἳ μετεῖναι τὸν Κῦρον ἀνέπεισαν, ἀνεσκολόπισε.

μ 784 Μέτεισιν· αἰτιατικῇ. ἀμύνεται, ἐπεξέρχεται. μέτεισι τοὺς Ἀθηναίους ὑπὲρ τῶν ἀθέσμων φόνων ἡ δίκη, καὶ ἀφορίαις συνείχοντο.

μ 785 Μετῇ: ἐξῇ. μέτεισι.

μ 786 Μετῄει: ἀφυστερεῖ ἢ ἀποτυγχάνει κλήρου.

μ 787 Μετῆλθε τὴν ἄλοχον: ἀντὶ τοῦ προσωμίλησεν αὐτῇ.

μ 788 Μετήορος: ὑψηλός.

μ 789 Μετῄεσαν: μετήρχοντο, ἐδίωκον. καὶ ὡς κατειργάσατο τὸ κάλλιστον ἔργον, ἔφευγεν ὤκιστα εὐθὺ τοῦ ἐραστοῦ. μετῄεσαν δὲ αὐτὸν οἱ δορυφόροι, καὶ διέφυγεν ἂν ἐκεῖνος, εἰ μὴ προβάτοις συνεζευγμένοις περιπεσὼν καὶ συμπλακεὶς ὡς πέδῃ κᾆτα ἀνετράπη.

μ 790 Μετίημι· αἰτιατικῇ.

μ 791 Μετ' ἴχνια: κατὰ ἴχνη πορεύεσθαι.

μ 792 Μετοκλάζει: μετακαθίζει.

μ 793 Μετ' ὀλίγον χρόνον· αἰτιατικῇ.

μ 794 Μετόν: ἐξόν. Ἀριστοφάνης· οὐδ' ἂν κλέπτης οὐδεὶς ἔσται. πῶς γὰρ κλέψαι; μετὸν αὐτῷ. ἀντὶ τοῦ μέτεστι.

μ 795 Μετόπισθεν: ἐν ὑστέρῳ, μετὰ ταῦτα.

μ 796 Μετόπωρον: τὸ φθινόπωρον, ὁ μετὰ τὴν ὀπώραν καιρός.

μ 797 Μετόρχιον: τὸ μεταξὺ τῶν φυτῶν· ἢ τὸ μεταξὺ τῶν χωρίων, ὅπερ λέγεται ὄρχος. μεταστήσειε, φησί, τὰ φυτὰ ἀπὸ τῶν ἀρουρῶν τῶν σπειρομένων. ἢ μετόρχιόν ἐστι τὸ μεταξὺ τῶν συμφύτων πεδίον, ἐν ᾧ ἢ σῖτος ἢ ἄλλο τι ἔσπαρται.

μ 798 Μετουσία: κοινωνία.

μ 799 Μετοχετεύειν: μετακομίζειν.

μ 800 Μετοχή: ὁ περίβολος. Δαβίδ· ἧς ἡ μετοχὴ αὐτῆς ἐπιτοαυτό.

μ 801 Μέτων: ὁ μαθηματικός. καὶ Μέτωνος ἐνιαυτός. οὗτος ὁ Μέτων ἄριστος ἐγένετο ἰατρὸς καὶ ἀστρονόμος. τούτου ἐστὶν ὁ λεγόμενος Μέτωνος ἐνιαυτός. Καλλίστρατος δέ φησιν εἶναι αὐτοῦ ἐν Κολωνῷ ἀνάθημά τι ἀστρονομικόν, Εὐφρόνιος δέ, ὅτι τῶν δήμων ἦν ἐκ Κολωνοῦ. πρὸ Πυθοδώρου δὲ ἡλιοτρόπιον ἦν ἐν τῇ νῦν οὔσῃ ἐκκλησίᾳ πρὸς τῷ τείχει τῷ ἐν Πνυκί. ἢ ὅτι ἐν Κολωνῷ κρήνην τινὰ κατεσκευάσατο· φησὶν ὁ Φρύνιχος Μονοτρόπῳ· τίς δ' ἐστὶν ὁ μετὰ ταῦτα φροντίζων; Μέτων ὁ Λυκονοιεύς. οἶδα, ὁ τὰς κρήνας ἄγων. ἢ ἴσως, ὅτι ἐν τῷ Κολονῷ κρήνην τινὰ κατεμηχανήσατο, ἢ ἄγαλμα ἢ ἀνάθημα ἀστρονομικὸν κατεσκευάσατο.

μ 802 Μετωνυμικῶς: μετωνομασμένως.

μ 803 Μέτωπον· καὶ Μετωπίδιον, τὸ ἐπὶ τοῦ μετώπου.

μ 804 Μέτωπον τῆς νεὼς ἡ πρώρα ἐστί. καὶ Μετωπηδόν, τουτέστι τὰ πρόσωπα τῶν νηῶν παρεῖχον τοῖς ἐναντίοις.

μ 805 Μετῴχετο: ἐπορεύετο.

μ 806 Μετρεῖν· αἰτιατικῇ.

μ 807 Μετρείτω: παρεχέτω. Ἀριστοφάνης· πυροὺς πεινῶσι μετρείτω.

μ 808 Μετρήσαντες: διελθόντες.

μ 809 Μέτρησον: δάνεισον. καὶ Ἡσίοδος· εὖ μὲν μετρεῖσθαι παρὰ γείτονος, εὖ δ' ἀποδοῦναι. καὶ Θεόπομπος Καπήλοις· μετάδος ἢ μέτρησον ἢ τιμὴν λάβε.

μ 810 Μετριάζει: ταπεινοφρονεῖ.

μ 811 Μετριοπαθεῖν: ἐκ μέρους τὰ πάθη καταδέχεσθαι, συγγινώσκειν. Ἀππιανός· Κλαύδιος Μάρκελλος πόλιν τῶν ἐναντίων παρεστήσατο καὶ συγγνώμην ἔδωκε ἀργυρίου τάλαντα λαβών. Νεργόβριγες δ' αὐτοῦ περὶ τῆσδε τῆς μετριοπαθείας πυθόμενοι ἐθαύμαζον. καὶ αὖθις· τοῖς Μήδοις ἀναζωπυροῦται τὸ φιλοπόλεμον μετριοφρονεῖν ἐπὶ τοῖς ἔναγχος οὐ χωρήσαντες ἐπιτεύγμασιν. Ἀριστοτέλης λέγει τὸν σοφὸν μετριοπαθῆ μὲν εἶναι, ἀπαθῆ δὲ μὴ εἶναι.

μ 812 Μέτριος: ὁ μεμετρημένην ἔχων οὐσίαν· ἢ τὸ ἦθος ἐπιεικής. ἔνιοι δὲ τῶν μετρίων ἀνδρῶν διηπόρουν ἐπὶ τοῖς προσπίπτουσι. καὶ Μαρκελλῖνος· Τιμολέοντα δὲ ὁ Τίμαιος ὁ Ταυρομενείτης ὑπερεπῄνεσε τοῦ μετρίου.

μ 813 Μετρίως ὠργιασμένως: ἀντὶ τοῦ μεμαλαγμένως ἢ δεδευμένως.

μ 814 Μέτριοι: εὐγνώμονες. ξυνομολογήσαντος ἄμφω ταῦτα ἑαυτοῦ καὶ ἄλλο ὅτι περ τῶν μετρίων ἐπαγγέλλοι Ἀντώνιος. ὁ δὲ οὔτε τῆς παρασκευῆς τὸν πόλεμον ἀνῆκεν.

μ 815 Μέτριοι· Ἀθήνηθεν ἀποπλεύσας Ἀσκληπιόδοτος καὶ εἰς Σελεύκειαν τῆς Συρίας ἀφικόμενος διεσκοπεῖτο τὰ ἤθη τῶν ἀνθρώπων· καὶ ἐν τῇ περιόδῳ ὅλῃ τρισὶ μόνοις ἔφη ἐντετυχηκέναι μετρίως ἔχουσιν ἀνθρώποις, Ἱλαπίῳ τε τῷ φιλοσόφῳ κατ' Ἀντιόχειαν· ἐν δὲ Λαοδικείᾳ τῇ ἐχομένῃ πόλει τῶν Σύρων Μάρᾳ τῷ δικαιοτάτῳ τῶν καθ' ἡμᾶς ἀνθρώπων καὶ τὴν Ἀριστείδου ἐπωνυμίαν ἀπενεγκαμένῳ, Δομνίνῳ τε τῷ φιλοσόφῳ.

μ 816 Μέτρον· ζήτει ἐν τῷ στάδιον.

μ 817 Μετρονόμοι· ἀρχή τις Ἀθήνησιν ἡ τῶν μετρονόμων. ἦσαν δὲ τὸν ἀριθμὸν ιε′ μὲν εἰς Πειραιᾶ, θ′ δὲ εἰς ἄστυ. εἶχον δὲ τὴν ἐπιμέλειαν ὅπως δίκαια ᾖ τὰ μέτρα τῶν πωλούντων.

μ 818 Μέτρῳ ὕδωρ πίνοντες, ἀμετρίαν δὲ μᾶζον ἔδοντες: οὗτος ὁ στίχος εἰς παροιμίαν περιέστη ἔκ τινος χρησμοῦ, ὃν ἀνεῖλεν ὁ θεὸς Συβαρίταις· ὑβρισταὶ γὰρ ὄντες καὶ ἀμετροπόται ἀπώλοντο ὑπὸ Κροτωνιατῶν. τοῖς οὖν διαφυγοῦσιν αὐτῶν οὕτως ἐχρήσθη.

μ 819 Μετοίκιον· μέτοικος μέν ἐστιν ὁ ἐξ ἑτέρας πόλεως μετοικῶν ἐν ἑτέρᾳ καὶ μὴ πρὸς ὀλίγον ἐπιδημῶν, ὡς ξένος. ἐδίδοντο δὲ ὑπ' αὐτῶν καθ' ἕκαστον ἔτος δραχμαὶ ιβ′, ὅπερ ὠνόμασται

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μετοίκιον. Ἰσαῖος δὲ ἐν τῷ κατ’ Ἐλπαγόρου καὶ Δημοφάνους ὑποσημαίνει, ὅτι ὁ μὲν ἀνὴρ ιβʹ δραχμὰς ἐτέλει μετοίκιον, ἡ δὲ γυνὴ ϛʹ· καὶ ὅτι τοῦ υἱοῦ τελοῦντος ἡ μήτηρ οὐκ ἐτέλει, μὴ τελοῦντος δὲ αὐτὴ ἐτέλει. οἱ δοῦλοι δὲ ἀφεθέντες ὑπὸ τῶν δεσποτῶν ἐτέλουν τὸ μετοίκιον. Μένανδρος δέ φησι πρὸς ταῖς ιβʹ δραχμαῖς καὶ τριώβολον τούτους τελεῖν, ἴσως τῷ τελώνῃ. οἱ μέντοι μετοίκιον μὴ τιθέντες μέτοικοι ἀπήγοντο πρὸς τοὺς πολίτας, καὶ εἰ ἑάλωντο, ἐπιπράσκοντο. ἐνεβίβαζον δὲ καὶ εἰς τὰς ναῦς τοὺς μετοίκους, ὡς Δημοσθένης ἐν Φιλιππικοῖς δηλοῖ. ἐκάλουν δὲ οἱ κωμικοὶ σκαφέας τοὺς μετοίκους, ἐπεὶ ἐν ταῖς πομπαῖς τὰς σκάφας ἐκόμιζον οὗτοι.

μ 820 Μέτοικοι: μέρος ἐστὶ τῶν πολιτῶν οἱ μέτοικοι εὐτελές, ὡς τὰ ἄχυρα τῶν κριθῶν. Ἀριστοφάνης· τοὺς γὰρ μετοίκους ἄχυρα τῶν ἀστῶν λέγω. Μέτοικοι δὲ οἱ ἀφ’ ἑτέρας πόλεως μεταστάντες καὶ εἰς ἑτέραν οἰκοῦντες. εἴ που δικίδιον εἶπας εὖ κατὰ ξένου μετοίκου, ᾤου δυνατὸς εἶναι λέγειν. παρὰ Σοφοκλεῖ δὲ μέτοικος ἀντὶ τοῦ ἔνοικος· εἰ μὴ μέτοικος τῆσδε τῆς χώρας θέλεις εἶναι. ἀντὶ τοῦ ἔνοικος. οὐ γὰρ αὐτὸ τοῦτο τὸ ἔνοικος, ὡς ἡμεῖς φαμεν, εἴρηται. μετοίκους δὲ καλοῦμεν τοὺς ἀπὸ ἑτέρας χώρας οἰκοῦντας, πρὸς δὲ τοὺς μετοικισθέντας ποθέν. τοῦτο δὲ σημαίνει ἔνοικον. Αἰσχύλος τοὺς οἰωνοὺς τῶν ὑψηλῶν τόπων, ἀντὶ τοῦ ἐνοίκους. καὶ αὖθις· Ζωβίαν ὑποδεξαμένην Ἀριστογείτονα φυγόντα καὶ ἀξιοῦσαν εὖ παθεῖν, ὅτε ἴσχυεν, ἐπὶ τὸ τοῦ μετοικίου πωλητήριον ἤγαγε καὶ τὴν ἀδελφὴν ἐπ’ ἐξαγωγῇ πέπρακε. καὶ αὖθις· τοῦτον δὲ ἐπίπρασκον, τὸ μετοίκιον ἀτονοῦντα θεῖναι.

μ 821 Μετοιωνίσασθαι: ἀντὶ τοῦ μεταθέσθαι τὸν φαῦλον οἰωνόν.

μ 822 Μετοίχεσθαι: μετελθεῖν, μεταβαίνειν.

μ 823 Μετοιχήσονται: μεταπορεύσονται, μετέλθωσι.

μ 824 Μέχρι· γενικῇ.

μ 825 Μέχρι αἰδοῦς: μέχρι αἰδοίων.

μ 826 Μέχρι τῶν ἀμφωτίδων: ἐπὶ τῶν ἄγαν πεπληρωμένων. τὸ δὲ ἀμφωτίδων, μέχρι τῶν ὤτων.

μ 827 Μειαγωγεῖν: τὸ ἔλαττον φέρειν. καὶ Μειαγωγεῖον.

μ 828 Μειαγωγήσουσι τὴν τραγῳδίαν: ἐάν τις εἰσήγαγεν εἰς τοὺς φράτορας υἱὸν ἐνήλικα γενόμενον, ἱερεῖον παρίστατο αὐτῷ ἐν ὡρισμένῳ σταθμῷ, πρὸς ὃ ἔδει προσάγειν, καὶ οὐκ ἐξῆν μεῖον παρασχεῖν. ὅτε δὲ ἐντεθείη τὸ ἱερεῖον εἰς τὸν ζυγόν, περιεστῶτες ἐβόων μεῖον, μεῖον. τοῦτο δηλονότι ἔλασσόν ἐστι. παρὰ τοῦτο οὖν λέγει, μειαγωγήσουσι τὴν τραγῳδίαν. πρὸς τὸν ζυγὸν προσάξουσι καὶ στήσουσι. καὶ ὁ τὸ πρόβατον εἰσάγων, μειαγωγὸς ἐκαλεῖτο κουρεῖον. ἔδει δὲ αὐτὸ ἔλαττον ἴσχειν σταθμοῦ τινος, διὰ τοὺς φιλοδοξοῦντας.

μ 829 Μειαγωγία. καὶ Μειαγωγός, ὁ εἰσάγων. Ἀπολλόδωρος ἐν τοῖς περὶ θεῶν· ὅτι οἱ φράτορες, ἵνα μείζους νέμωνται μερίδας, ἐπεφώνουν ἑστῶτες, κτανεῖν δεῖ· ὃς μεῖον γάρ ἐστι. μειαγωγῆσαι δέ ἐστι τὸ ἐπιδοῦναι τοῖς φράτορσι τὸ μεῖον.

μ 830 Μείδας, Μείδαντος: ὄνομα κύριον.

μ 831 Μειδίαμα: ὁ γέλως.

μ 832 Μειδίας: ὄνομα κύριον.

μ 833 Μείδω: τὸ γελῶ. καὶ Μειδιῶ ὁμοίως.

μ 834 Μείδωνος: ὄνομα κύριον.

μ 835 Μειδύλος: ὄνομα κύριον.

μ 836 Μείζονα βοᾷ δάφνης χλωρᾶς καιομένης: ἐπὶ τῶν μεγάλα βοώντων.

μ 837 Μείλανι: τῷ μέλανι.

μ 838 Μείλαξ: ὁ λειμών, ὁ παράδεισος. καὶ Λείμακες, τὸ πληθυντικόν.

μ 839 Μειλικτήριον.

μ 840 Μείλια: τὰ προικία.

μ 841 Μειλίγμασιν: ἀπατήμασιν. ἐξιλεώμασιν, ἡδύσμασι. καὶ τὸν τρόπον τῆς μειλίξεως οὐδ᾽ αὐτὸν ἀπεκρύψατο.

μ 842 Μειλικτηρίοις: προσηνέσιν, ἡδέσι, πραέσι.

μ 843 Μείλινον δόρυ.

μ 844 Μειλίξασθαι: πραῢναι.

μ 845 Μειλισιουργίς.

μ 846 Μειλισσόμενος: παρακαλῶν, πραῢνων.

μ 847 Μειλιχία. καὶ Μειλίχιος, πρᾶος, χρηστός.

μ 848 Μείλιχον: πρᾶον, χρηστόν.

μ 849 Μεῖον. καὶ Μειαγωγός. Ἰσαῖος ἐν τῷ πρὸς Στρατοκλέα φησί· παρέστη μεῖον. θῦμα δέ ἐστιν, ὃ τοῖς φράτορσι παρεῖχον οἱ τοὺς παῖδας εἰσάγοντες εἰς τούτους. ὅθεν τὰ μὲν ἱερεῖα μεῖον προσηγορεύθη.

μ 850 Μεῖον: ἔλαττον, μικρότερον. ὁ δὲ εἰς αὔξησιν τῆς ἀρετῆς καὶ μείωσιν τῆς κακίας ὅλην ἐξεκέχυτο τὴν ψυχήν. οὐδέν τι μεῖον ἢ ὁ Σωκράτης εἰς τὴν ζήτησιν τοῦ ἀληθοῦς. ἐπεὶ καὶ ἐκεῖνος ὑπὸ τῶν λʹ μὴ διαλέγεσθαι προσταχθεὶς οὐχ οἷός τε ἦν πείθεσθαι τῷ προστάγματι. καὶ αὖθις· οἱ δὲ ἐν μάχαις πολλαῖς ἔφερον τὸ μεῖον.

μ 851 Μεῖον: τὸ ὑπὲρ τῶν ἐγγραφομένων παίδων εἰς τοὺς φράτορας θυόμενον ἱερεῖον, οὐ μείζονος ἀποδεδειγμένου τινος σταθμοῦ· ᾧ ἐπεφθέγγοντο οἱ φράτορες, εἰ καὶ μεῖζον εἴη, ὅτι μεῖον· καὶ μειαγωγὸς ὁ τοῦτο παρέχων.

μ 852 Μειονεκτεῖ: τὸ ἧττον φέρει, ἐλαττοῖ.

μ 853 Μειονέκτημα. καὶ Μειονεκτῶ· γενικῇ· τὸ ἔλαττόν σου ἔχω. καὶ Μειονεκτούμενοι, ἐλαττούμενοι.

μ 854 Μειονεξία.

μ 855 Μείου: ἐλάττονα τίθει. Ξενοφῶν· Κῦρος ἔφη πρὸς Ἀράσπαν τὸν κατάσκοπον, μηδὲν ἐλάσσου τἀληθοῦς μηδὲ μείου τὰ τῶν πολεμίων· κρεῖσσον γὰρ μείζω οἰηθέντας μείονα ἰδεῖν, ἢ μείω ἀκούσαντας ἰσχυρότερα εὑρίσκειν.

μ 856 Μειοῦται.

μ 857 Μείων: ὁ ἐλάσσων.

μ 858 Μειρακιεύεσθαι: ὡς μειράκιον ἀθύρειν· μεῖραξ γὰρ τὸ μειράκιον. καὶ Μειρακύλλιον.

μ 859 Μείρεται: βουλεύεται.

μ 860 Μείρω: μερίζω.

μ 861 Μείς: μὴν Αἰολικῶς.

μ 862 Μεῖστον: τὸ ἐλάχιστον.

μ 863 Μή: τὸ ἀπαγορευτικόν. ἀντὶ τοῦ οὐ κεῖται παρὰ Καλλιμάχῳ. ἠρνεόμην θανάτοιο πάλαι καλέοντος ἀκοῦσαι, μὴ μετὰ δήν. τουτέστιν οὐκ ἀπέθανον πρὸ τούτου, ἵνα οὐ μετὰ δὴν καὶ ἐπὶ σοὶ θρηνήσω ἀποθανόντος. καὶ παρὰ Ἀριστοφάνει τὸ μὴ ἀντὶ τοῦ οὐ τάττεται.

μ 864 Μὴ ἀποσκορακίσῃς με: μὴ ἐκδιώξῃς με. μὴ ἐς κόρακας ἐκβάλῃς.

μ 865

Μηδ’ ἄκανθα ἀμύξῃ τοὺς ἀγαθούς.

μ 866 Μήδαμα: ὄνομα τόπου παρὰ Ἰωσήπῳ.

μ 867 Μηδ’ ἀμελῶ: ἐπὶ τῶν καταφρονουμένων.

μ 868 Μηδαμῇ καὶ Μηδαμοῦ καὶ Μηδαμῶς.

μ 869 Μηδαμινός: ὁ εὐτελής.

μ 870 Μηδ’ αὖ πλαδίῃ: ἀντὶ τοῦ μηδὲ πλησίον γένοιτό μοι τοῦτο, ὅπερ λέγεις.

μ 871 Μήδεα: τὸ αἰδοῖον καὶ τὰ βουλεύματα.

μ 872 Μηδὲ κάρφος κινεῖν: ἐπὶ τοῦ ἡσύχου.

μ 873 Μηδὲ μέλι μηδὲ μελίσσας: ἐπὶ τῶν μὴ βουλομένων παθεῖν τι φαῦλον μετ’ ἀγαθοῦ.

μ 874 Μηδὲν μακρὰν ἀπέλθῃς: παρὰ Ἀριστοφάνει. τὸ δεν παρέλκει κατ’ Ἀττικούς.

μ 875 Μηδέν ποτ’ εἴην ἄλλο, πλὴν θεῷ φίλος: ἐς ὅσον ὑπὸ τὴν αὐτοῦ λῆξιν καὶ τὸ αὐτοῦ κράτος ἀριθμοῦμαι. Λῆξις δὲ λέγεται παῦσις.

μ 876 Μηδέποτε δουλεύσασα γυνὴ δέσποινα γένηται.

μ 877 Μηδέποτ’ εὖ ἔρδειν γυναῖκα μηδὲ γείτονος κύνα μηδὲ κυβερνήτην φίλυπνον μὴ λάλον κωπηλάτην: παραινεῖ μὴ εἰς ἄχρηστα ἀναλίσκειν.

μ 878 Μήδεια, Κολχίς, ἡ Αἰήτου θυγάτηρ, φαρμακιστάτη γυναικῶν· ἥτις ἀσινῶς ἐποίησε τὸν Ἰάσονα ζεύξαντα τοὺς πυριπνόους ταύρους ἀρόσαι τὴν γῆν. καὶ λαβὼν τὸ χρυσόμαλλον δέρας ἠγάγετο τὴν Μήδειαν. ὅτι οἱ Ἕλληνες τὴν νάφθαν καλοῦσι Μηδείας ἔλαιον.

μ 879 Μὴ δείσαντες: μὴ φοβηθέντες.

μ 880 Μήδη: ὄνομα κύριον· Μηδία δὲ χώρα· Μίδεια, πόλις.

μ 881 Μηδίας: ὁ ῥήτωρ.

μ 882 Μηδίζω: τὰ τῶν Μήδων φρονῶ. καὶ Μηδίσαντες.

μ 883 Μηδικὴ πόα: ἡ τρίφυλλος λεγομένη. ἐκ τῶν Μηδικῶν τὸν λεγόμενον παπῷον ἔρανον. ἐγένετο ἐπὶ τῶν Μηδικῶν ψήφισμα, ὥστε ἕκαστον κατὰ δύναμιν συμβάλλεσθαι εἰς τὰ κοινὰ χρήματα. ταῦτα δὲ ἔταξεν Ἀριστείδης δοῦναι τοῖς συμμάχοις, εἰ τοῖς βαρβάροις πολεμοῖεν. ζήτει περὶ Μηδικῆς ἀρχῆς ἐν τῷ Ἀσσύριοι.

μ 884 Μηδικὸς ὄρνις: ὁ ταὧν.

μ 885 Μήδιος: ὄνομα κύριον.

μ 886 Μηδισμὸς ὁ Παυσανίου: ἁλόντος γὰρ ἐπὶ μηδισμῷ, συναιτιῶνται Θεμιστοκλέα.

μ 887 Μηδόλως: ἐπίρρημα.

μ 888 Μήδομαι: βουλεύομαι.

μ 889 Μῆδος: ὁ Περσῶν βασιλεύς. καὶ τὸ βούλευμα.

μ 890 Μηδοσύνη: βουλή.

μ 891 Μῆδοι: ὄνομα ἔθνους.

μ 892 Μὴ δῶτε τὰ ἅγια τοῖς κυσί.

μ 893 Μὴ ἐλλίποις.

μ 894 Μὴ ἐμβιῄη.

μ 895 Μὴ ἐπιχειρεῖτε.

μ 896 Μηθώνη: ὄνομα πόλεως.

μ 897

Μήθ’ οἷς ἐχθαίρεις ὑπεράχθοιο μήτ’ ἐπιλάθου. χρόνος γὰρ εὐμαρὴς θεός: τουτέστι μήτε ὑπὲρ τὸ δέον ἔχθαιρε μήτ’ ἐπιλανθάνου τῆς ἔχθρας. ὁ γὰρ χρόνος εὐμαρῶς παρέρχεται. ὁ χορός φησι πρὸς Ἠλέκτραν.

μ 898 Μηθυμναῖος: ὁ ἀπὸ Μηθύμνης πόλεως.

μ 899 Μήθ’ ὑπὸ νεότητος θρασύνεσθαι μήθ’ ὑπὸ γήρως ἀμβλύνεσθαι.

μ 900 Μηϊόσι.

μ 901 Μηκάδες: ἐπιθετικῶς αἱ αἶγες. ἀπὸ τοῦ ἰδιώματος τῆς φωνῆς.

μ 902 Μὴ καταπραΰνῃς: μὴ μακροθυμήσῃς, μὴ ἠρεμήσῃς. Δαβίδ· μὴ σιγήσῃς, μηδὲ καταπραΰνῃς ὁ θεός.

μ 903 Μηκέτι.

μ 904 Μὴ κίνει Καμάριναν: λίμνην φησὶ τῇ Καμαρίνῃ πόλει παρακειμένην, ὁμώνυμον αὐτῇ, ἣν βουλομένοις τοῖς Καμαριναίοις μετοχετεῦσαι ἔχρησεν ὁ θεός· μὴ κίνει Καμάριναν. οἱ δὲ τοῦ θεοῦ παρακούσαντες ἐβλάβησαν. ὅθεν ἡ παροιμία εἴρηται ἐπὶ τῶν καθ’ ἑαυτῶν βλαβερῶς τι ποιεῖν μελλόντων. τινὲς δέ φασι φυτὸν δυσῶδες εἶναι τὴν καμάρην, οὗ τοὺς κλάδους διασειομένους ἀηδέστερον ὄζειν.

μ 905 Μὴ κινεῖν ἀκίνητα, μηδ’ ἄκρῳ δακτύλῳ.

μ 906 Μὴ κινεῖν κακὸν εὖ κείμενον: ἐπὶ τῶν ἑαυτοῖς ἐξ ἀγνοίας πράγματα ἐγειρόντων.

μ 907 Μηκιστεύς: ὄνομα κύριον.

μ 908 Μηκιστηιάδης.

μ 909 Μήκοθεν.

μ 910 Μῆκος φάλαγγος: τὸ πρῶτον ἐκ τῶν λοχαγῶν σύνταγμα, ὃ ὑπὸ μίαν εὐθεῖαν τάσσεται, ἀπὸ κέρατος εἰς κέρας διατεῖνον. καλεῖται δὲ τοῦτο καὶ πρόσωπον καὶ μέτωπον καὶ στόμα καὶ παράταξις καὶ πρωτολοχία καὶ πρωτοστάται. ὁ δὲ κατόπιν τούτου στίχος παράλληλος κείμενος δεύτερον ζυγὸν καλεῖται, καὶ ὁ τρίτος τρίτον ζυγόν· καὶ ἑξῆς ὁμοίως.

μ 911 Μηκώμενος.

μ 912 Μήκων: μέρος τι τῶν ἐντοσθίων τοῦ πολύποδος τοῦ ἰχθύος· ὃς κεῖται ἐπάνω τῆς κοιλίας, οἱονεὶ κύστις, ἐν ἑαυτῇ ἔχουσα τὸν θολὸν, ὥς φησιν Αἰλιανὸς ἐν τῷ Περὶ ζῴων. σημαίνει δὲ καὶ εἶδος σπέρματος, καὶ ὄνομα κύριον.

μ 913 Μηκώνη: ὄνομα πόλεως.

μ 914 Μηκωνοειδές.

μ 915 Μηκύβερνα· πόλις ἐστὶν ἐν Θρᾴκῃ σταδίους κʹ ἀπέχουσα τῆς Ὀλύνθου ἡ Μηκύβερνα.

μ 916 Μῆλα: πάντα τὰ τετράποδα. ὅθεν καὶ πᾶσα βύρσα μηλωτὴ καλεῖται.

μ 917 Μῆλα: παρὰ τὸ μέλω, τὸ φροντίζω, μέλα καὶ μῆλα, τὰ ἐπιμελείας ἄξια. Ὅμηρος· καλλίτριχα μῆλα νομεύων. ἀντὶ τοῦ νομεύσας. Μῆλα καὶ οἱ μασθοί· ὁ γοῦν Μενέλαος τῆς Ἑλένης τὰ μῆλά που γυμνῆς παρευιδὼν ἐξέβαλ’, οἰῶ, τὸ ξίφος.

μ 918 Μηλάνθη: εἶδος ζῴου μικροῦ.

μ 919 Μηλέα: τὸ δένδρον.

μ 920 Μήλειος Ἡρακλῆς: ἐπὶ τῶν εὐτελῶν· τοῦ γὰρ βοὸς ἐκφυγόντος ποτέ, ὃν ἔμελλον τῷ Ἡρακλεῖ προσάξειν, μῆλον λαβόντες καὶ κλάδους ὑποθέντες δʹ ἔθυσαν.

μ 921 Μήλειος βληχή: ἡ τῶν προβάτων. καὶ Μήλειος καρπός, ὁ τῆς μηλέας.

μ 922

Μήλη: ἡ ἰατρική. ὅτι μήλης ἐντεθείσης τῷ ὀφθαλμῷ, οὐκ ἀντιλαμβανόμεθα τῶν αἰσθητῶν καὶ οὐδὲ τοῦ μεταξὺ ὡς ἔτυχεν ἀέρος ἔχοντος, ἀλλὰ πεφωτισμένου. καὶ αὕτη ἡ αἰτία τοῦ μὴ τὰς αἰσθήσεις τῶν ἰδίων αἰσθητηρίων ἀντιλαμβάνεσθαι.

μ 923 Μηλιακὸν πλοῖον: ἐπὶ τῶν παλαιῶν καὶ ἄγαν ἐκρεόντων πλοίων· Ἱππότην γὰρ εἰς ἀποικίαν στελλόμενον τοῖς μὴ βουληθεῖσιν αὐτῷ συμπλεῖν καταράσασθαι, μήτε πλοῖα στεγανὰ αὐτοῖς γενέσθαι ποτε καὶ γυναικοκρατεῖσθαι.

μ 924 Μηλιέας: ὄνομα κύριον.

μ 925 Μηλιέων πολιτεία.

μ 926 Μηλιῶς: ἐπὶ γενικῆς ὄνομα τόπου.

μ 927 Μηλιεύς· καὶ Μήλιοι.

μ 928 Μηλόβιος: εἷς τῶν λʹ τῶν παρὰ Ἀθηναίοις τυραννησάντων· οὗ Ὑπερίδης ἐν τῷ κατ' Αὐτοκλέους μέμνηται.

μ 929 Μηλοβοτέα: γῆν εὐτραφῆ, ἀνειμένην εἰς νομὴν προβάτοις.

μ 930 Μηλοβοτήρ: ὁ τῶν προβάτων ποιμήν. καὶ Μηλονόμος, ὁ αὐτός.

μ 931 Μηλόβοτος χώρα: ὑπὸ πολεμίων ἐξερημωθεῖσα, ἣν κατανέμεται τὰ τετράποδα. κεῖται δὲ τοὔνομα καὶ παρὰ τῷ Λυκούργῳ ἐν τῷ κατ' Αὐτοκλέους· ἀλλὰ καὶ μηλόβοτον τὴν Ἀττικὴν ἀνῆκε. βουλευομένου δὲ ὅπως τῇ πόλει χρήσηται Ἀθηναῖοι μὲν μηλόβοτον ἀνεῖναι συνεβούλευον, Φωκεῖς δὲ ἀντεῖπον σῶσαι.

μ 932 Μὴ λόγους ἀντ' ἀλφίτων: ἐπὶ τῶν ἔργα ἀλλὰ μὴ λόγους ἀξιούντων λαβεῖν.

μ 933 Μηλολόνθη: ζωΰφιον, ᾧ χρῶνται εἰς παιδιὰν οἱ παῖδες· ὃ τοῖς ἄνθεσιν ἐπικαθέζεται. οἱ δὲ παῖδες λίνον τοῦ ποδὸς ἐξαρτῶντες, καὶ ξυλίφιον ὃ οὐκ ἐξισχύουσιν ἀνακουφίσαι, εἰς τὸν ἀέρα ἀφιᾶσιν, ἔχοντες ἐξουσίαν πάλιν αὐτὰς κυνηγετῆσαι. Ἀριστοφάνης· ἀλλ' ἀποχάλα τὴν φροντίδ' εἰς τὸν ἀέρα, λινόδετον ὥσπερ μηλολόνθαν. σημαίνει δὲ καὶ εἶδος ἄνθους.

μ 934 Μῆλον: τὸ πρόβατον. καὶ ἡ ὀπώρα. ἐν Ἐπιγράμμασι· μῆλον ἐγὼ στρούθιον ἀπὸ προτέρης ἔτι ποίης ὥριον ἐν νεαρῷ χρωτὶ φυλασσόμενον, ἄσπιλον, ἀρυτίδωτον, ἰσόχνοον, ἀκμὴν ἐν πετάλοις ἐμφυὲς ἀκρέμοσι.

μ 935 Μῆλος: καὶ ἡ πόλις, καὶ ἡ νῆσος.

μ 936 Μηλοσφαγίαις: θυσίαις προβάτοις.

μ 937 Μηλοῦν: τὸ ψηλαφᾶν.

μ 938 Μήλῳ βληθῆναι: ἐπὶ τῶν εἰς ἔρωτά τινα ἐπαγομένων. μὴ δ' εἰς ὀρχηστρίδος εἰσάττειν (τουτέστιν εἰσελθεῖν), ἵνα μὴ πρὸς ταῦτα κεχηνώς, μήλῳ βληθεὶς ὑπὸ πορνιδίου τῆς εὐκλείας ἀποθραυσθῇς. τουτέστιν ἐκπέσῃς.

μ 939 Μήλωθρον: τὸ βάμμα.

μ 940 Μηλῶσαι: τὸ καθεῖναί τι εἰς βάθος. καὶ τὴν φάρυγγα μηλῶσαι, τὸ διαχρῖσαι τῷ δακτύλῳ. Ἀριστοφάνης· τὴν φάρυγγα μηλῶσαι, δύο δραχμὰς ἕξει μόνας. καὶ Μήλη, ἐργαλεῖον, δι' οὗ χρίεταί τι καὶ ὑπαλείφεται.

μ 941 Μηλωτή: ζώνη ἐκ δέρματος.

μ 942 Μήλοις βάλλειν: ἐπὶ τῶν εἰς ἔρωτας ἐπαγομένων.

μ 943 Μή με παρόψει.

μ 944 Μὴ μή μ', ἄναξ: τὸ πλῆρες, μὴ μή μοι. Σοφοκλῆς· μὴ μή μ', ἄναξ, κακὰν φάτιν ἄρῃ.

μ 945

Μή μοί ποτ' ἔλθης, ὅτ' ἐγὼ πράττω κακῶς: παροιμία ἐπὶ τῶν μὴ συνερχομένων τοῖς φίλοις ἐν κινδύνοις. παίζει δὲ Ἀριστοφάνης· εἰς τὸ ἐναντίον γὰρ ἡ παροιμία, μή μοί ποτ' ἔλθης, ὅτ' ἐγὼ πράττω καλῶς.

μ 946 Μήν, μηνὸς κλίνεται.

μ 947 Μηναγύρτης: ἀπὸ μηνὸς συνάγων.

μ 948 Μηναγύρτης: ὁ τῆς Ῥέας ἱερεύς, ὁ κατὰ μῆνα ἀγείρων καὶ συναθροίζων.

μ 949 Μηνᾶς· ὅτι ἐν τῷ ναῷ τοῦ ἁγίου Μηνᾶ ὄρυγμα εὑρέθη μέγα, ὅτε ἐκαθαίρετο, καὶ ὀστᾶ ἀνθρώπων γιγάντων εἰς πλῆθος· ἅτινα θεασάμενος Ἀναστάσιος ὁ βασιλεὺς καὶ ἐκπλαγεὶς εἰς τὸ παλάτιον κατέθετο εἰς θαῦμα ἐξαίσιον.

μ 950 Μήνη: σελήνη.

μ 951 Μηνία: ὀργίζου. καὶ Μηνιάω, μηνιῶ· δοτικῇ.

μ 952 Μῆνιγξ: ὑμὴν τὸν ἐγκέφαλον σκέπων. τοῦ δὲ καλουμένου μηνιγγοφύλακος ἐπιτεθέντος τῇ μήνιγγι, ἀναίσθητον τὸ ζῷον γίνεται καὶ ἀκίνητον. ὅτι αἱ αἰσθήσεις ἀπὸ τοῦ ἐγκεφάλου ἀρχόμεναι διὰ τῶν νεύρων ἄχρι τῶν αἰσθητηρίων προΐασι. πρόεισιν οὖν καὶ ἡ ἀκουστικὴ δύναμις μέχρι τῆς ῥίζης τῶν ὤτων, ἃς καλοῦσι μήνιγγας. ἔστι δὲ νεῦρον ἀπὸ τοῦ ἐγκεφάλου προϊὸν πεποροποιημένον· ἐν ᾧ πόρῳ ἐστὶ τὸ ὀπτικὸν πνεῦμα. ἔστιν οὖν ἀπειλημμένος τις ἀὴρ ἐν τῷ κοιλώματι τῆς ἀκοῆς, συμφυὴς ὢν τῇ μήνιγγι καὶ τῷ ὑμένι. οὗτος οὖν ὁ ἀὴρ δεχόμενος ἐκ τοῦ ἔξωθεν ἀέρος τοὺς ψόφους, ἔχων καὶ αὐτὸς τὴν διηχῆ δύναμιν δι' ἑαυτοῦ εἰς τὴν μήνιγγα διαπορθμεύει τοὺς ψόφους. πρόεισι δ' ἀπὸ πλατυτέρου πόρου τῆς μήνιγγος. οὐ δεῖ δὲ νομίζειν τοῦτο μόνον ἀέρα, εἰ καὶ συμφυής ἐστιν, ἤδη καὶ ἄφθαρτον εἶναι, ὡς ἀεὶ ἕνα καὶ τὸν αὐτὸν τῷ ἀριθμῷ ὄντα· ἀλλ' ἔστι κατὰ μέρη φθαρτὸς καὶ γεννητὸς ὥσπερ καὶ τὸ ἄλλο τοῦ ἀνθρώπου σῶμα. ἀμέσως δὲ δέχεται τὰς τοῦ ἔξωθεν ἀέρος προσβολάς. διὸ καὶ ὑπὸ τῶν μεγάλων ψόφων πάσχει ἡ ἀκοή, τοῦ ἔξωθεν ἀέρος σφοδρῶς ὠθουμένου καὶ τῇ βίᾳ ὠθοῦντος τὸν ἐν τοῖς ὠσὶ συμφυᾶ τοῦτον ἀέρα καὶ πολλάκις διασκεδαννύντος αὐτόν. καὶ διὰ τὰς περιστατικὰς ἐνεργείας, ἤτοι τὰς ἐν τοῖς ὕδασι καταδύσεις, ἐγκατῳκοδόμηται οὗτος ὁ ἀὴρ εἰς φυλακὴν τοῦ αἰσθητηρίου. διὰ τοῦτο καὶ ἑλικοειδεῖς ἐποίησεν ἡ φύσις τοὺς πόρους τῶν ὤτων, ἵνα μὴ ῥᾳδίως εἰσέρχηταί τι καὶ πλήξῃ τὴν μήνιγγα.

μ 953 Μηνιθμόν: τὴν ὀργήν.

μ 954 Μήνιμα: ἡ μανία.

μ 955 Μηνιόντων: ὀργιζομένων.

μ 956 Μηνίω, μηνίσω. βαρύτονον. ὀργίζομαι. ὥσπερ κυλίω, κυλίσω. κονίω, κονίσω. μήνυμα δέ, μηνῦσαι.

μ 957 Μῆνις: ὀργὴ ἔμμονος.

μ 958 Μηνίσκος: παράταξις πολεμική.

μ 959 Μηνίσκους: ὑμένας, πέταλα, περιτραχήλια κόσμια. ἢ ἃ ἐπιτιθέασι τοῖς ἀγάλμασι, διὰ τὸ μὴ ἐφιζάνοντα τὰ ὄρνεα ἀποπατεῖν. χαλκεύεσθαι μηνίσκους φορεῖν ὥσπερ ἀνδριάντες, ἐὰν μὴ ἡμᾶς κρίνητε νικᾶν. φησὶν οὖν, ὅτι μέλλομεν ὑμῶν καταπατεῖν.

μ 960 Μηνοειδής: σεληνοειδής. στρογγύλος.

μ 961 Μὴ νόμισον: ἀντὶ τοῦ μὴ νομίσῃς. οὕτως Θαγενίδης.

μ 962 Μήνυμα.

μ 963 Μή νυν: παροξυτόνως, ἀντὶ τοῦ μὴ δή.

μ 964 Μηνύω σοι χαράν· δοτικῇ.

μ 965 Μηνῦσαι.

μ 966 Μῄονος: ἐθνικόν.

μ 967 Μὴ οὐχί· Σοφοκλῆς· κόμπος πάρεστι, κοὐκ ἀπαρνοῦμαι τὸ μή. τὸ μὴ οὐχὶ βάψαι τὸ ξίφος ἐν τῷ στρατῷ.

μ 968 Μὴ πάντα κατὰ βοὸς ἕξεις: παραινεῖ μὴ πάντα ἐπ' εὐχαῖς ποιεῖσθαι καὶ ταῖς παρὰ θεῶν ἐλπίσιν, ἀλλὰ πράττειν καὶ δι' ἑαυτῶν.

μ 969 Μὴ παραζήλου: μὴ ὁμοιωθῇς.

μ 970 Μὴ παρόψει.

μ 971 Μὴ παιδὶ μάχαιραν: ἐπὶ τῶν εἰκῆ ἐγχειριζόντων. καὶ Εὔπολις Δήμοις· μὴ παιδὶ τὰ κοινά.

μ 972 Μὴ πολλάκις πρὸς τὸν αὐτὸν λίθον παίειν, ἔχοντα καιρὸν ὁμολογούμενον.

μ 973 Μήποτ' εὖ ἔρδειν γέροντα μηδὲ παῖδα μηδὲ γυναῖκα μηδὲ γείτονος κύνα μήτε κυβερνήτην φίλυπνον, μὴ λάλον κωπηλάτην: παραινεῖ εἰς ἄχρηστα μὴ ἀναλίσκειν.

μ 974 Μήπω γε, μήπω: ἐπαναδίπλωσις καλεῖται τὸ τοιοῦτο σχῆμα τοῦ λόγου, τὸ δὶς τοῖς αὐτοῖς ὀνόμασι χρῆσθαι. ἐμφαντικὸν δὲ καὶ λίαν ἐνεργητικὸν ἀπεργάζεται τὸν λόγον· δεδιττόμενος γὰρ δεῖται ὑπερθέσεως.

μ 975 Μὴ προδοὺς ἡμᾶς γένῃ· σύνταξις. οἴμ', ὡς ἀθυμῶ· καὶ σὲ πρὸς τοῦ σοῦ τέκνου καὶ θεῶν ἱκνοῦμαι, μὴ προδοὺς ἡμᾶς γένῃ.

μ 976 Μὴ πρὸς ἐμὲ τὰ ποικίλα: ἀντὶ τοῦ τὰς τέχνας.

μ 977 Μὴ πρὸς λέοντα δορκὰς ἅψομαι μάχης: ἐπὶ τῶν τὴν ἰσχὺν ἀνίσων.

μ 978 Μήρινθος: σπάρτος, ἤτοι σχοινίον, δεσμός, βρόχος. αὕτη μὲν ἡ μήρινθος οὐδὲν ἔσπασεν. ἐπὶ τῶν ἐπιχειρούντων καὶ ἀποτυγχανόντων. οὐ μὴν οὐδὲ ἡ μήρινθος ἔσπασέ τι ἀγαθὸν αὐτοῖς· οὐ γάρ τοι μετὰ μακρὸν νέφη ἀκρίδων ἐπιρρεύσαντα τοὺς καρποὺς κατέφαγεν αὐτοῖς.

μ 979 Μηριόνης: ὄνομα κύριον.

μ 980 Μηρός: τὸ μέλος.

μ 981 Μήρυμα: σπείραμα, κάταγμα, νῆμα.

μ 982 Μηρυομένη: ἕλκουσα, ἐκτεινομένη. Μηρύω γὰρ τὰ ἱστία συνάγω.

μ 983 Μήσατο: ἐμηχανήσατο.

μ 984 Μή ς' ὁ θυμὸς ἁρπάσας ἐκτὸς οἴσει τῶν ἐλαιῶν: ἐμφαίνει ὁ λόγος ὡρισμένον τι λέγειν, καὶ μάλιστα, ὡς ἐπ' ἄκρου ἱπποδρόμου ἐλαῖαι ἦσαν, καθ' ὃ ἐξεφέροντο οἱ ὑποπεπτωκότες κατὰ τὸν δρόμον. θέλει δὲ εἰπεῖν, ἐκτὸς τοῦ προκειμένου μὴ λέγε.

μ 985 Μηστάρνη: κώμη Κιλίκων.

μ 986 Μήστωρ, Μήστορος: ὄνομα κύριον. καὶ Μήστωρ δέ, μήστωρος, βουλευτικός, ἔμπειρος, ἐπιστήμων.

μ 987 Μὴ σύ γε μελαμπύγου τύχης: μή τινος ἀνδρείου καὶ ἰσχυροῦ τύχῃς. ἐπὶ τῶν παράνομα δρώντων· ὡς μή τινος ἰσχυροῦ τυχόντος δίκην δώσει.

μ 988 Μὴ τέγγεσθε: μὴ μελήσετε.

μ 989 Μήτε νεῖν μήτε γράμματα ἐπίστασθαι: ἐπὶ τῶν παντάπασιν ἀμαθῶν· παρὰ γὰρ Ἀθηναίοις εὐθὺς ἐκ παιδὸς κολυμβᾶν καὶ γράμματα ἐδιδάσκετο.

μ 990 Μήτε πλαστὰν μήτε μιμηλάν: ἀντὶ τοῦ μήτε πλαστὴν εἰκόνα μήτε γραπτήν.

μ 991 Μὴ τεῖνε: μὴ βράδυνε, μὴ διάτριβε, μὴ χρόνιζε.

μ 992

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Μὴ τὴν τέφραν φεύγων εἰς τὴν ἀνθρακιὰν πέσῃς.

μ 993 Μήτηρ, μητέρος, καὶ ἐν συγκοπῇ μητρός. καὶ ταῖς μητράσι τὸ πληθυντικόν.

μ 994 Μή τι: μηδαμῶς. οὔπω δὲ ἐπείθετο τῷ προστάγματι ὁ Ἰσίδωρος, ἀλλὰ τὸ τοῦ Ἰβύκου ἔπος αὐτὸν ἐπῄει, μή τι παρὰ θεοῖς ἀμπλακὼν τιμὰν πρὸς ἀνθρώπων ἀμείψῃ.

μ 995 Μήτι: τῇ βουλῇ. ἡ εὐθεῖα ἡ Μῆτις, βουλή, γνώμη, σύνεσις.

μ 996 Μή τι γε: πόσῳ γε μᾶλλον.

μ 997 Μητιέτα. καὶ Μητιέτης, ὁ βουλευτικός. οὗ ἡ κλητικὴ μητιέτα καὶ κατὰ μεταπλασμὸν ἡ εὐθεῖα. μητιέτα Ζεῦ. καὶ ἐν συνθέσει πολύμητις. Μῆτιν δὲ ἐλαφροί, οἱ ἄφρονες, οἱ μὴ στερρῶς μηδὲ βεβαίως φρονοῦντες.

μ 998 Μητιόωσι.

μ 999 Μητίσομαι: βουλεύσομαι, ἐρήσομαι.

μ 1000 Μὴ τὸν ἐμὸν οἴκει νοῦν· ἔχεις γὰρ οἰκίαν: παρὰ τὸ ἐν Ἀνδρομάχῃ Εὐριπίδου. ἢ οὕτως· μὴ τὸν ἐμὸν οἴκει νοῦν· ἐγὼ γὰρ ἀρκέσω.

μ 1001 Μὴ τοῦ λέγοντος ἴσθι: μὴ πείθου τοῖς διαβάλλουσι.

μ 1002 Μήτρα: ἡ τῆς γυναικός.

μ 1003 Μητραγύρτης: ἐλθών τις εἰς τὴν Ἀττικὴν ἐμύει τὰς γυναῖκας τῇ μητρὶ τῶν θεῶν, ὡς ἐκεῖνοί φασιν. οἱ δὲ Ἀθηναῖοι ἀπέκτειναν αὐτὸν ἐμβαλόντες εἰς βάραθρον ἐπὶ κεφαλήν. λοιμοῦ δὲ γενομένου, ἔλαβον χρησμὸν ἱλάσασθαι τὸν πεφονευμένον. καὶ διὰ τοῦτο ᾠκοδόμησαν βουλευτήριον, ἐν ᾧ ἀνεῖλον τὸν μητραγύρτην, καὶ περιφράττοντες αὐτὸ καθιέρωσαν τῇ μητρὶ τῶν θεῶν, ἀναστήσαντες καὶ ἀνδριάντα τοῦ μητραγύρτου. ἐχρῶντο δὲ τῷ Μητρῴῳ ἀρχείῳ καὶ νομοφυλακείῳ, καταχώσαντες καὶ τὸ βάραθρον.

μ 1004 Μητραλοίας: ὁ τὴν μητέρα τύπτων. καὶ Μητρολῴας, ὁ αὐτός. λύσις ὀνείρου· μητρὶ πλακῆναι καλὸν εἰς ὄναρ τόδε.

μ 1005 Μητροδάτης: ὄνομα κύριον.

μ 1006 Μητροπάτωρ: κατὰ μητέρα πάππος.

μ 1007 Μητρορραίστης: ὁ φθείρων τὴν μητέρα.

μ 1008 Μητροπόλεις: ὅσαι πόλεις ἀποικίας ἔστειλαν.

μ 1009 Μητροφάνης, Εὐκαρπίας τῆς Φρυγίας, σοφιστής. ἔγραψε περὶ τῆς Φρυγίας αὐτῆς βιβλία β′, Περὶ ἰδεῶν λόγου, Περὶ στάσεων, εἰς τὴν Ἑρμογένους τέχνην ὑπόμνημα, εἰς Ἀριστείδην ὑπόμνημα.

μ 1010 Μητροφάνης, Κορνηλιανοῦ ῥήτορος, Λεβαδεύς (πόλις δὲ Βοιωτίας ἡ Λεβάδεια), σοφιστής. Περὶ τῶν χαρακτήρων Πλάτωνος, Ξενοφῶντος, Νικοστράτου, Φιλοστράτου, μελέτας, λόγους πανηγυρικούς.

μ 1011 Μητροφάνης, ἔκγονος Λαχάρου. ὢν δὲ ἐν παισὶν ἔτι νήπιος ἀνεφθέγξατο βοῶν· ἐγώ εἰμι, ἔφη, Ἀριστοφάνης ὁ φαλακρός, οὔπω τι τῶν τοιούτων ἀκηκοώς. ἐπεὶ δὲ οἱ ἀκούσαντες ἀνέκρινον ὅ τι εἴποι, μηδὲν εἰδέναι τῶν εἰρημένων διϊσχυρίζετο. κατὰ τούτου τοῦ Μητροφάνους ἔγραψε λόγον Σουπηριανὸς ὁ σοφιστής.

μ 1012 Μητρῳακαί: ἡμέραι τινὲς ἱεραί. τὰς δὲ Μητρῳακὰς παρὰ Ῥωμαίοις ἢ καὶ πρότερον παρὰ Φρυξὶ σπουδασθείσας καστείας ἑκάστου μηνὸς ἥγνευε.

μ 1013 Μητρῷον· Λυκοῦργος ἐν τῷ κατὰ Ἀριστογείτονος. τοὺς νόμους ἔθεντο ἀναγράψαι ἐν τῷ Μητρῴῳ.

μ 1014 Μήτρως: ὁ θεῖος. καὶ κλίνεται μήτρω Ἀττικῶς.

μ 1015 Μητρυά.

μ 1016 Μὴ ὑπερόψῃ.

μ 1017 Μηχανή: βουλή.

μ 1018 Μηχάνημα: στρατήγημα. ἀλλ᾽ ἔστι τοῦτ᾽, ὦ δῆμε, μηχάνημα.

μ 1019 Μηχανορράφος: ἐπινοητὴς κακῶν, κατασκευαστής. τὰ φαῦλα μηχανώμενος. ὑφεὶς μάγον τοιόνδε μηχανορράφον. Σοφοκλῆς φησι. καὶ αὖθις· ἐγὼ μὲν οὖν καὶ ταῦτα καὶ τὰ πάντ᾽ ἀεὶ φάσκοιμ᾽ ἂν ἀνθρώποισι μηχανᾶν θεούς.

μ 1020 Μηχανῶμαι· αἰτιατικῇ.

μ 1021 Μήχει: τῷ μηχανήματι.

μ 1022 Μῆχος: μηχάνημα, ἐπινόημα. αὐτῆμαρ τοῖον μῆχος ἐπεφράσατο· τρητὸν γὰρ θεμένη χερὶ κόσκινον, εὖ διὰ πυκνῶν σχοίνων ἠελίους πλείονας ηὐγάσατο.

μ 1023 Μία λόχμη· παροιμία· οὐ τρέφει μία λόχμη δύο ἐριθάκους. ἐπὶ τῶν ἐκ μικροῦ τινος κερδαίνειν σπουδαζόντων. ἐρίθακος δέ ἐστιν ὄρνεον μονῆρες καὶ μονότροπον.

μ 1024 Μία μάστιξ πάντας ἐλαύνει: ἐπὶ τοῦ ῥᾳδίου.

μ 1025 Μιαρὰ κεφαλή: ὥσπερ φίλη κεφαλή. ἐκ τοῦ ἡγεμονικοῦ μέρους τοῦ σώματος δηλοῖ τὸν ἄνδρα, παραπλησίως Ὁμήρῳ· Τεῦκρε, φίλη κεφαλή. καί, τοίην γὰρ κεφαλήν. καὶ παρὰ Δημοσθένει· καὶ ταῦτ᾽, ὦ μιαρὰ κεφαλή. καὶ αὖθις· ὦ μιαρὲ καὶ πατραλοία καὶ τοιχωρύχε. ὁ δέ φησιν· αὖθις μετὰ ταῦτα καὶ πλείω λέγε. ἆρ᾽ οἶσθ᾽ ὅτι χαίρω πόλλ᾽ ἀκούων κακά; Αἰλιανός· παρὰ δὲ μιαροῦ δῶρα οὔτε ἄνδρα ἀγαθὸν οὔτε θεὸν ἔστι ποτὲ τό γε ὀρθὸν δέχεσθαι. μάτην οὖν περὶ θεῶν ὁ πολύς ἐστι πόνος τοῖς ἀνοσίοις, τοῖς δὲ ὁσίοις εὐκαιρότατος. Πλάτων φησί.

μ 1026 Μιαρία: ἡ ἀκαθαρσία. τὴν μιαρίαν τοῦ καπνοῦ καὶ τὴν ὄχλησιν τῆς κόπρου.

μ 1027 Μιαροί: ἀηδεῖς, βδελυκτοί. ὁ δὲ δράκων προελθὼν ἄρα τοῦ ἀδύτου τό τε αἷμα αὐτῶν ἐξελιχμήσατο καὶ ἐκάθηρε τὰς πληγάς, ἵνα μήποτ᾽ ἄρα ἐκ τοῦ λύθρου μιαροὶ βλέπωνται. καὶ Ἀριστοφάνης· ὦ μιαρὲ καὶ τολμηρὲ κἀναίσχυντε σὺ καὶ μιαρὲ καὶ παμμίαρε καὶ μιαρώτατε, πῶς δεῦρ᾽ ἀνῆλθες, ὦ μιαρῶν μιαρώτατε; τί σοί ποτ᾽ ἔστ᾽ ὄνομ᾽, οὐκ ἐρεῖς· μιαρώτατος. ποδαπὸς γένος εἶ; φράζε μοι μιαρώτατος. οὔ τοι, μὰ τὴν γῆν, ἔσθ᾽ ὅπως οὐκ ἀποθανῇ, εἰ μὴ κατερεῖς μοι τοὔνομ᾽, ὅ τι πότ᾽ ἐστί σοι. μιαρώτατε. Τρυγαῖος, Ἀθμονεύς, ἀμπελουργὸς δεξιός, οὐ συκοφάντης οὐδ᾽ ἐραστὴς πραγμάτων. ἥκεις δὲ κατὰ τί; τὰ κρέα ταυτί σοι φέρων. ὦ δειλὰ κρονίων· ὦ γλίσχρων, ὡς οὐκ ἔτ᾽ εἶναί σοι δοκῶ μιαρώτατος.

μ 1028 Μίασμα: βαφή.

μ 1029 Μιάστορα: λυμεῶνα, φονέα.

μ 1030 Μία χελιδών· παροιμιῶδες τοῦτο, ὅτι μία χελιδὼν ἔαρ οὐ ποιεῖ. βούλεται δέ τι εἰπεῖν, μία ἡμέρα οὐ ποιεῖ τὸν σοφὸν εἰς τελείωσιν ἐμβαλεῖν, καὶ δυσημερία μία τὸν σοφὸν εἰς ἀμαθίαν.

μ 1031 Μιγάδες: τὸ ἐκ πολλῶν ἄθροισμα.

μ 1032 Μίγδα καὶ μίγδην: μεμιγμένως.

μ 1033 Μίγμα τῶν ζωγράφων: ὃ καλεῖται χρωμάτων κρίσις.

μ 1034 Μίγνυται· δοτικῇ.

μ 1035 Μιδάειον: χωρίον.

μ 1036 Μίδας: ὄνομα κύριον. ὁ φιλόχρυσος. ὁ κτίσας πόλιν τὴν νῦν Ἄγκυραν. καὶ Μίδας, κύβου ὄνομα εὐβολωτάτου. καὶ παροιμία· Μίδας ὁ ἐν κύβοις εὐβολώτατος· ὁ γὰρ Μίδας βόλου ἐστὶν ὄνομα. καὶ ἑτέρα παροιμία· Μίδας ὦτα ὄνου ἔχων. Μίδας, ὁ Φρυγῶν βασιλεύς· ἤτοι ὅτι πολλοὺς

ὠτακουστὰς εἶχεν, ἢ ὅτι κώμην Φρυγιακὴν κατέσχεν, ἥτις Ὦτα ὄνου ἐλέγετο. λέγεται δὲ τούτῳ τὸν Πακτωλὸν ποταμὸν χρυσὸν ῥεῦσαι· καὶ ὅτι αὐτὸν εὔξασθαι, ὥστε πάντα ὧν ἅψαιτο χρυσὸν γενέσθαι. ἢ ὅτι ὁ ὄνος μᾶλλον τῶν ἄλλων ζῴων ἀκούει, πλὴν μυός. καὶ ὁ Μίδας πολλοὺς ὠτακουστὰς εἶχεν. οἱ δέ φασιν, ὅτι ψέξας ποτὲ τὸν Διόνυσον ὁ Μίδας μετεβλήθη εἰς ὄνον· ἢ ὅτι τοὺς τοῦ Διονύσου παριόντας ἠδίκησεν, ὁ δὲ ὀργισθεὶς ὦτα ὄνου ἔχειν αὐτῷ περιῆψεν. ἢ ὅτι μεγάλα ὦτα εἶχε. λέγεται οὖν ἡ παροιμία ἐπὶ τῶν μηδὲν λανθανόντων. κλίνεται δὲ Μίδας, Μίδου. ἐπίγραμμα· αὐτοῦ τῇδε μένουσα πολυκλαύτῳ ἐπὶ τύμβῳ ἀγγελέω παριοῦσι, Μίδας ὅτι τῇδε τέθαπται.

μ 1037 Μιαιγαμίαι· οἱ τοῦ Σὴθ καὶ Ἐνὼς καὶ Ἐνὼχ παῖδες υἱοὶ θεοῦ νοείσθωσαν· οἵτινες ἁλόντες ἀκολασίᾳ πρὸς τὰς θυγατέρας Κάϊν εἰσῆλθον· ἐξ ὧν οἱ τῆς καταλλήλου μιαιγαμίας γίνονται γίγαντες, διὰ μὲν τὸν δίκαιον ἰσχυροὶ καὶ μέγιστοι, διὰ δὲ τὸν ἄδικον καὶ βέβηλον πονηροὶ καὶ κάκιστοι.

μ 1038 Μιαίνεται: μολύνεται. καὶ Μιαίνω· αἰτιατικῇ.

μ 1039 Μιαιφονία: ὁ φόνος.

μ 1040 Μιαιφόνος: ὁ φονεύς.

μ 1041 Μίθαικος, γραμματικός. ἔγραψεν Ὀψαρτυτικά, Κυνηγετικὰ καὶ ἄλλα.

μ 1042 Μίθαικος: ὁ ταχύς.

μ 1043 Μίθικος: ὄνομα κύριον.

μ 1044 Μιθριδάτης: ὄνομα κύριον. ζήτει περὶ αὐτοῦ ἐν τῷ φύσει καὶ ἐν τῷ αὐθέντης.

μ 1045 Μίθρου· Μίθραν νομίζουσιν εἶναι οἱ Πέρσαι τὸν ἥλιον καὶ τούτῳ θύουσι πολλὰς θυσίας. οὐκ ἂν οὖν εἰς αὐτὸν δυνήσαιτό τις τελεσθῆναι, εἰ μὴ διά τινων βαθμῶν παρελθὼν τῶν κολάσεων δείξει ἑαυτὸν ὅσιον καὶ ἀπαθῆ.

μ 1046 Μικίψας: βασιλεὺς Ἰλλυρίων.

μ 1047 Μίκκος: ὁ μικρός.

μ 1048 Μικρολόγος: σκνιπός, φειδωλός. καὶ Εὐνάπιος· μικροῦ τὰ πράγματα μετακινήσαντος Ὁρμίσδου τοῦ Πέρσου.

μ 1049 Μικρὸν κακόν, μέγα ἀγαθόν: ἐνίοτε γὰρ τὸ μικρὸν κακὸν μεγάλων αἴτιον γίνεται ἀγαθῶν, ὥσπερ καὶ τὸ ἀνάπαλιν.

μ 1050 Μικρὸν τοῦ ὀβολοῦ: τίμιον. λέγεται δὲ ἐπὶ τῶν πονηρῶν. Εὔπολις Μαρικᾷ· τῶν γὰρ πονηρῶν μικρὸν ἐπὶ τοῦ ὀβολοῦ.

μ 1051 Μικροπρεπείας ῥήματα· Ἀθηναίων ἅπας τις εἰσιὼν ἐκέκραγε πρὸς τοὺς οἰκέτας, ποῦ ᾽στιν ἡ χύτρα; τίς τὴν κεφαλὴν ἀπεδήδοκε τῆς μαινίδος; τὸ τρυβλίον τὸ περυσινὸν τέθνηκεν (ἀντὶ τοῦ κέκλασται). ποῦ τὸ σκόροδον τὸ χθεσινόν; τίς τὰς ἐλάας παρέτραγε; μέχρι γὰρ καὶ τῶν εὐτελῶν ἐρωτῶσι.

μ 1052 Μικρός γε μῆκος οὗτος, ἀλλὰ πᾶν κακόν. τὸν Νίκαρχόν φησιν Ἀριστοφάνης· καὶ μὴν ὁδὶ Νίκαρχος ἔρχεται φανῶν. ἀντὶ τοῦ κατηγορήσων· συκοφάντης γὰρ ἦν.

μ 1053 Μικρός, ἡλίκος Μόλων: ἐπὶ τῶν πάνυ βραχέων. δύο δὲ ἐγένοντο Μόλωνες, εἷς ὑποκριτής, καὶ λωποδύτης.

μ 1054 Μικρὸς ὁ σὸς ἀεὶ πῶλος: ἐπὶ τῶν διὰ βραχύτητα ἡλικίας νεάζειν λεγόντων.

μ 1055 Μικροῦ δέω: παρὰ μικρὸν λείπω.

μ 1056 Μικροῦ δεῖν: παρὰ μικρόν. καὶ χωρὶς τοῦ δεῖν· μικροῦ τὰ πράγματα μετακινήσαντος. ἀντὶ τοῦ παρ᾽ ὀλίγον, παρὰ μικρόν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μ 1057 Μίκυλλος: ὄνομα κύριον.

μ 1058 Μίλαξ: εἶδος βοτάνης. καὶ κλίνεται μίλακος. Ἀριστοφάνης· μίλακος καὶ ἀπραγμοσύνης. ἀντὶ τοῦ πάσης εὐωδίας ὄζων καὶ ἀσφαλείας.

μ 1059 Μίλην μιλῶσαι· ζήτει ἐν τῷ κατὰ μίλην μιλῶσαι.

μ 1060 Μιλήσιον. καὶ Μιλήσιος, ὁ ἀπὸ τῆς πόλεως.

μ 1061 Μιλητοπολίτης: ὁ ἀπὸ τῆς Μιλητουπόλεως.

μ 1062 Μιλιαρήσιον. τὸ τοῦ νομίσματος δέκατον.

μ 1063 Μίλινον χρῶμα.

μ 1064 Μίλιον: μέτρον γῆς. στάδιον· ὅτι τὰ ι′ μίλια ἔχουσι στάδια π′. ἄλλως. ὅτι τὸ στάδιον ἔχει πόδας χ′, τὸ δὲ μίλιον πόδας ͵δσ′.

μ 1065 Μίλιον· ὅτι ἐν τῇ καμάρᾳ τοῦ Μιλίου στῆλαι ἵστανται Κωνσταντίνου καὶ Ἑλένης· ἔνθα καὶ σταυρὸς καὶ ἡ Τύχη τῆς πόλεως. καὶ ἐν τῷ αὐτῷ Μιλίῳ Σοφίας τῆς γυναικὸς Ἰουστινιανοῦ καὶ Ἀραβίας τῆς θυγατρὸς αὐτῆς καὶ Ἑλένης ἀνεψιᾶς αὐτῆς· Ἀρκαδίου τε καὶ Θεοδοσίου τοῦ υἱοῦ αὐτοῦ, πλησίον Θεοδοσίου τῆς στήλης, ἔφιπποι ἀμφότεροι. ὅτι ἐν τῷ Μιλίῳ ἐν τέτρασιν ἵπποις πυρίνοις ἅρμα ἱπτάμενον παρὰ δύο στηλῶν ἐκ παλαιῶν τῶν χρόνων ὑπῆρχεν. ἔνθα εὐφημήθη Κωνσταντῖνος μετὰ τὸ νικῆσαι Ἀζώτιον· ἐπειδὴ καὶ Βύζας ἐκεῖσε εὐφημήθη. κατενεχθὲν δὲ τὸ ἅρμα ἐν τῷ ἱπποδρόμῳ δορυφορούμενον στηλίδιον καινὸν παρὰ Κωνσταντίνου κατασκευασθὲν ὑπὸ ἡλίου φερόμενον, Τύχη πόλεως, εἰς τὸ στόμα εἰσήει καὶ στεφανωθὲν ἐξήει. ἐτίθετο δὲ ἐν τῷ σενάτῳ ἕως τῶν ἐπιόντων γενεθλίων τῆς πόλεως. διότι δὲ ἐπὶ τῆς κεφαλῆς αὐτοῦ σταυρὸν ἐχάραξε Κωνσταντῖνος, Ἰουλιανὸς αὐτὸ βοθύνῳ κατέχωσε. στῆλαι ἐν τῷ Μιλίῳ· ζήτει ἄγαλμα ἕτερον ἐν τῷ βασιλική.

μ 1066 Μίλων, Κροτωνιάτης, ἐνίκησε παλαίων ἓξ ὀλύμπια ἐφεξῆς. ἐν δὲ τῇ ζ′ οὐκ ἴσχυσε καταπαλαῖσαι τὸν Μασίθεον, συμπολίτην αὐτοῦ, ἡλικίᾳ καὶ νέον ὄντα καὶ οὐκ ἐθέλοντα ἐγγὺς ἵστασθαι. ἱστάμενος δὲ ἐπὶ ἀληλιμμένῳ τῷ δίσκῳ γέλωτα ἐποιεῖτο τοὺς ἐμπίπτοντάς τε καὶ ὠθουμένους ἀπὸ τοῦ δίσκου. περιεδεῖτο δὲ τῷ μετώπῳ χορδὴν καθάπερ ταινίαν ἢ στέφανον· κατέχων δὲ ἐντὸς χειλέων τὸ ἆσθμα καὶ ἐμπιπλὰς αἵματος τὰς ἐν τῇ κεφαλῇ φλέβας διερρήγνυεν ἀπὸ ἰσχύος τῶν φλεβῶν τὴν χορδὴν καθάπερ πάπυρον. καὶ τῆς δεξιᾶς χειρὸς τὸ μὲν εἰς τὸν ἀγκῶνα ἐκ τοῦ ὤμου παρ’ αὐτὴν καθίει τὴν πλευράν, τὸ δὲ ἀπὸ τοῦ ἀγκῶνος ἔτεινεν ἐς εὐθὺ τῶν δακτύλων, τὸν μὲν ἀντίχειρα ἀντιστρέφων ἐς τὸ ἄνω, τῶν λοιπῶν δὲ ἀλλήλοις ἐπικειμένων κατὰ στοῖχον· τὸν ἐλάχιστον οὖν τῶν δακτύλων κάτω γινόμενον οὐκ ἀπεκίνησεν ἄν τις βιαζόμενος. ἀπέθανε δὲ οὗτος ἐπιτυχὼν ξύλῳ ξηρῷ σφῆνας ἔχοντι τοὺς διιστῶντας αὐτό· ὁ δὲ ὑπὸ φρονήματος καθίησι τὰς χεῖρας ὡς διαρρήξων· ὀλισθαίνουσί τε δὴ οἱ σφῆνες, κἀκεῖνος ἐχόμενος ὑπὸ τοῦ ξύλου λύκων ἐγένετο εὕρημα· μάλιστα γὰρ τὸ θηρίον τοῦτο πολὺ καὶ ἄφθονον ἐν τῇ Κροτωνίᾳ χώρᾳ νέμεται.

μ 1067 Μιλτιάδης, ὁ Κίμωνος, ἥκων ἐκ τῆς Χερρονήσου καὶ ἐκπεφευγὼς διπλόον θάνατον ἐστρατήγεεν Ἀθηναίων. ἅμα μὲν γὰρ οἱ Φοίνικες αὐτὸν οἱ ἐπιδιώξαντες μέχρι Ἴμβρου περὶ πολλοῦ ἐποιεῦντο λαβεῖν τε καὶ ἀναγαγεῖν παρὰ βασιλέα· ἅμα δὲ ἐκφυγόντα τε τούτους καὶ ἀφικόμενον ἐς τὴν ἑωυτοῦ δοκέοντά τε εἶναι ἐν σωτηρίῃ ἤδη, τὸ ἐνθεῦτέν μιν οἱ ἐχθροὶ ὑποδεξάμενοι, ὑπὸ δικαστήριον αὐτὸν ἀγαγόντες ἐδίωξαν τυραννίδος τῆς ἐν Χερρονήσου. ἀποφυγὼν δὲ καὶ τούτους στρατηγὸς οὕτως Ἀθηναίων ἀπεδείχθη, αἱρεθεὶς ὑπὸ τοῦ δήμου. ὁ αὐτὸς Μιλτιάδης ἐπικομπῶν ἔφη, ὡς Τισσαφέρνης εἶπεν, ἦ μὴν ἕως ἄν τι τῶν ἑαυτοῦ λείπηται, ἢν Ἀθηναίοις πιστεύῃ, μὴ ἀποστερήσειν αὐτοὺς τροφῆς καὶ τὰς τῶν Φοινίκων ναῦς κομιεῖν Ἀθηναίοις καὶ οὐ Πελοποννησίοις· πιστεῦσαι δ’ ἂν μόνοις Ἀθηναίοις, εἰ αὐτὸς κατελθὼν αὐτῷ

ἀναδέξαιτο. οἱ δὲ ἀκούοντες ταῦτα καὶ ἄλλα πολλὰ στρατηγὸν αὐτὸν εἵλοντο καὶ τὰ πράγματα πάντα ἀνετίθεσαν.

μ 1068 Μιλτιάδῃ καὶ Ἀριστείδῃ ἐῴκει: ἀμφότεροι οὗτοι ἄριστοι ἐγένοντο. ὁ γὰρ Ἀριστείδης δίκαιος ἐκλήθη, ὁ δὲ Μιλτιάδης στρατηγός· ὃς ἐν Μαραθῶνι ἐστρατήγησε. τοῦ δὲ ἐν Μαραθῶνι τροπαίου μέμνηται ὁ ποιητής, διότι τὰ μὲν ἄλλα κατορθώματα κοινῇ πᾶσα ἡ Ἑλλὰς πεποίηκε κατὰ τῶν βαρβάρων, τὸ δὲ ἐν Μαραθῶνι μόνοι Ἀθηναῖοι κατώρθωσαν.

μ 1069 Μίλτιον βάμμα.

μ 1070 Μιλτοπάρῃαι νῆες: βεβαμμένας ἔχουσαι τὰς πρώρας.

μ 1071 Μίλτος: χρώματος εἶδος ἐρυθροῦ. καὶ Ὅμηρος· νῆες μιλτοπάρῃοι. καὶ ἐν Ἐπιγράμμασι· μιλτοφυῆ τε σχοῖνον ὑπ’ ἀκρονύχῳ ψαλλομένην κανόνι. καὶ αὖθις· σχοινίον τε ἐφείλιξαν μίλτῳ καὶ ἔπαιον τὸ ἄγαλμα Ἀλεξανδρίτην καλοῦντες. καὶ δῆτα πολὺν ἡ μίλτος γέλων παρέσχεν, ἣν προσέρραινον κύκλῳ. κατὰ γὰρ τὴν ἀγορὰν ἐσόβουν εἰς ἐκκλησίαν τοὺς Ἀθηναίους μεμιλτωμένῳ σχοινίῳ, ἣν ἔβαλλον κύκλῳ.

μ 1072 Μιμαλλόνας: τὰς Βάκχας τοῦ Διονύσου· ἀπὸ τῆς μιμήσεως, πρότερον Κλώδονας καλουμένας.

μ 1073 Μιμάρης: κυρίως ἡ λαγῴα χορδὴ ἡ ἐκ τῶν ἐντέρων. χρῶνται δὲ καὶ ἐπὶ χοίρου. ἢ σκευασία τις τῆς κοιλίας, ἢ τῶν ἐντέρων. οἱ δὲ τὴν ἐκ τοῦ λαγῴου αἵματος καὶ τῶν ἐντοσθίων σκευαζομένην καρύκην.

μ 1074 Μίμας: ὄρος Θρᾴκης. καὶ κλίνεται Μίμαντος.

μ 1075 Μιμηλά: μιμητική. καὶ παροιμία· Μήτε πλαστὰν μήτε μιμηλάν. τουτέστι μήτε πλαστὴν εἰκόνα μήτε γραπτήν. καὶ Μιμηλότατα.

μ 1076 Μίμησις.

μ 1077 Μίμνερμος, Λιγυρτυάδου, Κολοφώνιος ἢ Σμυρναῖος ἢ Ἀστυπαλαιεύς, ἐλεγειοποιός. γέγονε δ’ ἐπὶ τῆς λζʹ ὀλυμπιάδος, ὡς προτερεύειν τῶν ζʹ σοφῶν· τινὲς δὲ αὐτοῖς καὶ συγχρονεῖν λέγουσιν. ἐκαλεῖτο δὲ καὶ Λιγυαστάδης διὰ τὸ ἐμμελὲς καὶ λιγύ. ἔγραψε βιβλία ταῦτα πολλά.

μ 1078 Μιμνήσκω· γενικῇ.

μ 1079 Μῖμος. καὶ Μιμοῦμαι· αἰτιατικῇ.

μ 1080 Μίν: ἀντωνυμία τρίτου προσώπου, καὶ σημαίνει τὰ τρία γένη παρ’ Ὁμήρῳ, ἀρσενικόν, θηλυκὸν καὶ οὐδέτερον. ἡ δὲ παραγωγὴ οὕτως· ἐγώ, σύ, τὸ τρίτον ἵ· τὸ ν ἐφελκυστικόν ἐστιν ἐν τοῖς τρίτοις προσώποις· καὶ πλεονασμῷ τοῦ μ μίν.

μ 1081 Μινδυρίδης: ὄνομα κύριον. ζήτει ἐν τῷ Συβαριτικαῖς.

μ 1082 Μίνθα: τὸ παρ’ ἡμῖν ἡδύοσμον· οἱ δὲ τὸν θύμον.

μ 1083 Μίνθη: καλαμίνθη, ἡδύοσμος, βοτάνη εὐώδης.

μ 1084 Μινθῶσαι: διοσφρᾶναι, δυσοσμίας ἀναπληρῶσαι, ῥυπῶσαι.

μ 1085 Μινθώσομεν: κοπρώσομεν· μίνθος γὰρ ἄνθος ἐν τῇ κόπρῳ γινόμενον, ᾧ χαίρουσιν οἱ τράγοι. ἢ ἡ ἀνθρωπίνη κόπρος μίνθος, ᾗ χρῶνται παρατρίβοντες οἱ ποιμένες τῷ δυσεργήτῳ τῶν τράγων πταρμῷ. ἢ ἡ κόπρος τῶν αἰγῶν λέγεται. ἐπειδὰν δὲ οἱ τράγοι ψυγμῷ περιπέσωσιν, εἰώθασιν οἱ αἰπόλοι λαμβάνειν τὴν κόπρον αὐτῶν καὶ χρίειν αὐτῶν τοὺς μυκτῆρας καὶ οὕτω τῇ δυσωδίᾳ πταρμὸν κινεῖν· τούτῳ δὲ τῷ τρόπῳ λύειν τὸ πάθος· ὁ γὰρ πταρμὸς θεραπεύει τὸ πάθος. ἐκ τούτου οὖν φησιν, ὅτι ἀηδίσομέν σε· ἐπεὶ καὶ αἱ αἶγες ἐκ τῆς κόπρου ἀηδίζονται.

μ 1086 Μινίκιος: ὄνομα κύριον.

μ 1087 Μινουκιανός, Νικαγόρου τοῦ σοφιστοῦ, Ἀθηναῖος, σοφιστής, γεγονὼς ἐπὶ Γαλιηνοῦ. τέχνην ῥητορικὴν καὶ προγυμνάσματα καὶ λόγους διαφόρους.

μ 1088 Μινούκιος: ὄνομα κύριον.

μ 1089 Μινῴα: πόλις περὶ Σικελίαν, ἥτις Ἡράκλεια πρὶν ἐλέγετο.

μ 1090 Μινῴδης: τοῦ Μίνωος.

μ 1091 Μίνως: ὄνομα κύριον. Μινῷος δὲ ὁ ἀπὸ τοῦ Μίνω.

μ 1092 Μίνως· οὗτος ἐθαλαττοκράτει καὶ πανταχόσε ἔπλει ξενίας τε πολλοῖς ἐπήγγελεν. ἀφικόμενος δὲ ἐς τὴν Ἀσίαν καὶ ἀκούων κλέος μέγα ἐν Φρυγίᾳ τοῦ τε Τρωὸς τῆς Τροίας βασιλέως καὶ τῶν παίδων αὐτοῦ ἦλθεν ἐς πόλιν Δάρδανον, ἐν ᾗ ᾤκει ὁ Τρώς. ἦσαν δ' αὐτῷ τρεῖς παῖδες, Ἶλος, Ἀσσάρακος, Γανυμήδης· οὗ δὴ μέγιστον ἦν ὄνομα κάλλους πέρι. ξενιζόμενος οὖν παρὰ τὸν Τρῶα ὁ Μίνως καὶ δῶρα διδούς τε καὶ δεχόμενος ἐκέλευσε τῷ Τρωῒ καλεῖν τοὺς παῖδας, ἵν' αὐτοὺς ἴδοι τε καὶ δῶρα δοίη. ὁ δὲ ἔφη ἐς κυνηγέσιον ἐστάλθαι. ὁ δὲ καὶ αὐτὸς ἤθελε ξυγκυνηγεῖν αὐτοῖς. πρῶτον θεραπόντων ξυνέπεμψέ τινα ἐς τὸν χῶρον, ἵνα οἱ παῖδες ἐκυνήγουν, περὶ τὸν Γρανικὸν ποταμόν· ὁ δὲ Μίνως τὰ πλοῖα προεκπέμψας ἐς τὸν ποταμὸν ὀλίγον ὕστερον ἦλθε πρὸς τοὺς παῖδας καὶ τὸν Γανυμήδην θεασάμενος ἔρωτι αὐτοῦ ἔσχετο· ἐγκελευσάμενος δὲ τοῖς Κρησίν, ἁρπάσας τὸν παῖδα ἐνέθετο εἰς τὴν ναῦν καὶ ἀπέπλει. ὁ δὲ τόπος ἐκλήθη Ἁρπαγία· ὁ δὲ Μίνως ἔχων τὸν παῖδα ἦλθεν ἐς Κρήτην. ὁ δὲ παῖς κατ' εὐπέτειαν ὑπὸ λύπης ἑαυτὸν ξίφει διειργάσατο, καὶ αὐτὸν ὁ Μίνως ἐν τῷ ναῷ ἔθαψεν. ἐξ οὗ δὴ καὶ λέγεται Γανυμήδην μετὰ Διὸς ὑπάρχειν.

μ 1093 Μινώταυρος: ὄνομα κύριον.

μ 1094 Μινύα: ὄνομα πόλεως.

μ 1095 Μινύας: ὄνομα κύριον. καὶ τὸ πληθυντικὸν Μινυῶν.

μ 1096 Μινύαι: οἱ Ἀργοναῦται. ἐν Ἐπιγράμμασι· σοὶ γέρας, Ἀλκείδα Μινυαμάχε, τοῦτο Φίλιππος δέρμα ταναιμύκου λευρὸν ἔθηκε βοός.

μ 1097 Μινύειον: ὄνομα τόπου. Μινυήϊον δὲ καὶ αὐτὸ ὄνομα τόπου.

μ 1098 Μινύθει: ἐλαττοῦται. ὅτι τὴν ἄσην μινύθοντες ἐλούοντο, ὅ ἐστι τὴν ῥυπαρίαν μειοῦντες.

μ 1099 Μίνυνθα: ἐπ' ὀλίγον.

μ 1100 Μινυνθάδιον: ὀλιγοχρόνιον.

μ 1101 Μινύωρον: ἐπ' ὀλίγον.

μ 1102 Μινύρεται: ᾄδει. κλαίει, θρηνεῖ, εὐφώνως λέγει. Σοφοκλῆς· ἔνθα λίγεια μινύρεται θαμίζουσα μάλιστ' ἀηδὼν χλωραῖς ὑπὸ βήσσαις.

μ 1103 Μινυρίζω: θρηνῶ· ἢ τὸ ἠρέμα ᾄδω. παρὰ τὸ μεῖον. Πλάτων ἐν τρίτῳ Πολιτείας· μινυρίζων τε καὶ γεγανωμένος ὑπὸ τῆς ᾠδῆς. ἀντὶ τοῦ οἰκτρᾷ φωνῇ χρώμενος καὶ θρηνῶν. ἢ ὀλίγῃ φωνῇ χρώμενος. Ἀριστοφάνης· μινυρίζοντες μέλη ἀρχαιομελισιδωνοφρυνιχήρατα.

μ 1104 Μιξανάρρους· ἴσως λαβὼν ἴλιγγας ἀντισυστρόφους, ὁ μιξανάρρους τῶν Σευήρου σκεμμάτων, πρὸς τὰς ἀπ' ἀρχῆς ἀντανέλθοι φροντίδας.

μ 1105 Μιξίας: ὁ μιγνύων.

μ 1106 Μιξιονίδης, Μιξιονίδου. Μιξωνίδης δέ. λύσις ὀνείρου· πᾶσαί τε μίξεις πρόξενοι μακρῶν πόθων.

μ 1107 Μίξις· ἁμαρτάνει ὁ λέγων μίξεως τὴν κρᾶσιν γένος· τὸ γένος γὰρ ὑποτίθησι τῷ εἴδει· ἐπὶ πλέον γάρ τι ἡ μίξις τῆς κράσεως. εἰ μὲν γάρ τι κέκραται, καὶ μέμικται· οὐ μὴν πᾶν μεμιγμένον κέκραται. ἡ μὲν γὰρ τῶν ξηρῶν μίξις οὐκ ἔστι κρᾶσις. ἔστι δὲ ἡ μίξις διάφορος τῆς κράσεως.

μ 1108 Μιρράνης: ὄνομα κύριον.

μ 1109 Μιρός: ποταμὸς Φρυγίας.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μ 1110 Μισγάγκεια: τόπος κοῖλος, εἰς ὃν τὰ καταφερόμενα μίσγεται ἀπὸ πλειόνων ὀρῶν ὕδατα. ξυνάγκεια δὲ λέγεται ὡσαύτως ὁ κοῖλος τόπος.

μ 1111 Μισγόλας· οὗτος ἦν τοῦ Λεωδάμαντος ἐρώμενος.

μ 1112 Μισήτη· τὴν καταφερῆ μισήτην ἔλεγον, οὐ παρὰ τὸ μῖσος, ἀλλὰ παρὰ τὸ μίσγεσθαι· τὸ γὰρ μῖσος ἄποθέν ἐστι τοῦ μιαίνεσθαι· ὃ γὰρ μισεῖται, μεμόνωται καὶ ἀμιγές ἐστιν· ἀλλ’ οἱονεὶ μισγήτην τινὰ οὖσαν. ὃ καὶ βέλτιον. καὶ τὸ ἐν παροιμίας δὲ μέρει λεγόμενον, παρὰ σφυρὸν παχεῖα μισήτη γυνή, κατὰ τοῦτο εἰρῆσθαι δοκεῖ. καὶ ὁ Κρατῖνός που τοῦτο ἔφη· μισῆται δὲ γυναῖκες ὀλίσβωσι χρήσονται. τὸν δὲ ἁπλῶς μισητὸν τὸν ἀνίκανον λέγει. μεταφορικῶς δὲ καὶ ἐπὶ τῆς ἀπλήστου κατὰ τροπὴν τίθεται ἡ λέξις.

μ 1113 Μισητία: ἡ πορνεία παρὰ Ἀριστοφάνει· οὐχ ἕνεκα μισητίας. καὶ μισητίαν, τὸν εἰς τὰς συνουσίας ἐπίφορον. οὐχ ἕνεκα, φησί, τοῦ ὑπηρετεῖν μου τῇ ἀσελγείᾳ.

μ 1114 Μισσιανή· ὁ δὲ δι’ ἄλλης ὁδοῦ παρεγένετο τῇ Μισσιανῇ χαίρειν εἰπών.

μ 1115 Μίσις, Μίσιδος.

μ 1116 Μισθαρνεῖν: ῥῆμα. Ἀγαθίας· ὅσους δὲ αὐτῶν ἤρεσκε μισθαρνεῖν τοῖς ἐναντίοις ἐπὶ τῇ τῶν οἰκείων προδοσίᾳ, ἐξάγειν τὰ ἀπόρρητα, οὗτοι τὸ ἀτρεκὲς οὐκ ἐγίνωσκον.

μ 1117 Μισθαρνής: μισθὸν ἀντικαταλλάττων. καὶ Μισθαρνῶ· αἰτιατικῇ.

μ 1118 Μισθαρχίδης: ἐν τῇ ἀρχῇ μισθὸν λαμβάνων· ὠψωνιάζοντο γὰρ καὶ οἱ ἄρχοντες.

μ 1119 Μισθαρνία: ἡ ἐπὶ μισθῷ γινομένη ἐργασία.

μ 1120 Μισθοῦμαι· αἰτιατικῇ.

μ 1121 Μισθοφορά: ἰδίως τὸν μισθὸν τῶν στρατευομένων οἱ παλαιοὶ μισθοφορὰν ἐκάλουν. Ἀριστοφάνης· οἵων ἀγαθῶν αὐτῶν τῇ μισθοφορᾷ παρεκόπτου. ἀντὶ τοῦ παρῄρου, ἐλυμαίνου. ἀπὸ μεταφορᾶς τῶν παρακοπτομένων τὰ πτερὰ ὀρνέων.

μ 1122 Μισθοφόρος: ἐπὶ μισθῷ ἐργαζόμενος. καὶ Μισθοφόροι τριήρεις, αἱ ἐπὶ μισθῷ τοὺς στρατευομένους ἄγουσαι. καὶ Μισθοφορῶ· δοτικῇ.

μ 1123 Μίσθωμα: ὁ μισθὸς ὁ ἑταιρικός. Αἰλιανός· ἡ δὲ οὐ προσεῖτο φάσκουσα εἶναι μίσθωμα τὸ ἑαυτὴν παραβαλεῖν ἀνδρὶ ἀγνῶτι.

μ 1124 Μισθοδοτῶ· δοτικῇ. μισθὸν δίδωμι.

μ 1125 Μισόδημε, καὶ μοναρχίας ἐραστὰ καὶ ξυνὼν Βρασίδᾳ καὶ φορῶν κράσπεδα στεμμάτων τήν θ’ ὑπήνην ἄκουρον τρέφων.

μ 1126 Μισολάμαχος ἡμέρα: μισοπόλεμος· ὁ γὰρ Λάμαχος πολεμικώτατος ἦν καὶ φιλοπόλεμος στρατηγὸς ὤν. Ἀριστοφάνης· ἡμέρα γὰρ ἐξέλαμψεν ἡ μισολάμαχος.

μ 1127 Μισοπράγμων: ὁ ἡσύχιος καὶ ἤρεμον βίον ᾑρημένος. πεφύκασιν οἱ ἄνθρωποι τῇ μισοπράγμονι ζωῇ τὴν ἀρετὴν ἐπιφημίζειν, οὐχ οὕτως ἔχον, κατά γε τὴν ἐμήν· ἡ γὰρ ἐν μέσῃ τῇ πολιτείᾳ διὰ τῶν πολιτικῶν ἔργων τε καὶ λόγων ἀναστρεφομένη ἀρετὴ γυμνάζει τε τὴν ψυχὴν πρὸς τὸ ἐρρωμενέστερον καὶ βεβαιοῦται μᾶλλον ἐπὶ τῆς πείρας, ὅσον αὐτῆς ὑγιές τε καὶ ὁλόκληρον· ὅσον δὲ κίβδηλον καὶ ἐπίπλαστον ἐμφωλεύει ταῖς ἀνθρωπίναις ζωαῖς, τοῦτο πᾶν διελέγχεται καὶ ἑτοιμότατον καθίσταται πρὸς διόρθωσιν.

μ 1128 Μισοπορπακιστάτη: μισοπολεμωτάτη, τουτέστιν εἰρηνική. παρὰ τὸν πόρπακα. πόρπαξ δὲ κατά τινας μὲν ὁ ἀναφορεὺς τῆς ἀσπίδος· ὡς δέ τινες, τὸ διῆκον μέσον τῆς ἀσπίδος σιδήριον, ᾧ κρατεῖ τὴν ἀσπίδα ὁ στρατιώτης.

μ 1129 Μῖσος.

μ 1130

Μισῶ· αἰτιατικῇ. μισῶ τὴν ἀφελῆ, μισῶ τὴν σώφρονα λίαν. ἐπὶ τῆς ἀπονήρου καὶ δοσιπύγου. ζήτει ἐν τῷ ἀφελές.

μ 1131 Μίστυλλον: εἰς μικρὰ διέκοψαν.

μ 1132 Μίσχος.

μ 1133 Μιτάτωρ: ὁ προαποστελλόμενος ἄγγελος πρὸ τοῦ ἄρχοντος.

μ 1134 Μίτιος: ὄνομα πόλεως.

μ 1135 Μίτος: τὸ λεπτότατον σχοινίον. καὶ παροιμία· Ἀπὸ λεπτοῦ μίτου τὸ ζῆν ἠρτῆσθαι. σημαίνει δὲ καὶ ὄνομα πόλεως. εὕρηται ἀεὶ διὰ βραχέος τοῦ ι. ὥς με πόνων ῥύσαιο παναγρύπνοιο μερίμνης, ἀκρὶ μιτωσαμένη φθόγγον ἐρωτοπλάνον. καὶ αὖθις· ἀραχναίοιο μίτου πολυδίνεα λάτριν, ἄτρακτον, δολιχᾶς οὐκ ἄτερ ἀλακάτας. καὶ αὖθις· κερκίδα τ’ εὐποίητον, ἀηδόνα τὰν ἐν ἐρίθοις, Βακχυλὶς εὐκρέκτους εὖ διέκρινε μίτους.

μ 1136 Μίτρα: διάδημα, ἢ ζώνη. αἱ μίτραι τό θ’ ἁλουργὲς ὑπένδυμα τοί τε Λάκωνες πέπλοι. πάνθ’ ἅμα Νικονόη συνεπέκπιε.

μ 1137 Μιτράνης.

μ 1138 Μιτυληναία: τὸ μι βραχύ. τὰν Μιτυληναίαν ἔννεπ’ ἀοιδοπόλον.

μ 1139 Μιτυλήνη: ὄνομα νήσου. καὶ Μιτυληναῖος, ὁ ἀπὸ τῆς αὐτῆς νήσου.

μ 1140 Μιχαήλ, βασιλεὺς Ῥωμαίων, ὁ μετὰ τὸν Ἀρμένιον Λέοντα βασιλεύσας· ὃς μικρόν τι τῆς προκατασχούσης κακίας ὑπενδούς, ὅσον τοὺς ἐν εἱρκταῖς καὶ πόνοις καὶ ἐξορίαις ἐλευθερίαν τε καὶ ἄνεσιν ὀνειρώδη φαντάζεσθαι, τὸ τοῦ προηγησαμένου δυσωνύμου καὶ δυσσεβοῦς ὑπέθαλπε θεοστυγὲς φρόνημα, καὶ ὁμοίως τῷ αὐτῷ ἀμφιβλήστρῳ περιπαρεὶς τῆς δεινῆς αἱρέσεως ἰχθύος δίκην τοῖς τῶν δογμάτων σαθροῖς καὶ ἀσεβέσιν ἐναπέθανεν ἐξ ἀκροτάτης ἀβελτηρίας τε καὶ ἀλογίας. ἀμύητος γὰρ σφόδρα καὶ ἀπαίδευτος ἐτύγχανεν· ἀμαθίαν γὰρ ἐκ πατρῴας ἀλογίας καὶ ἀπειροκαλίας ὥσπερ ἱκανὴν οὐσίαν ἐκληρώσατο.

μ 1141 Μιχαήλ, σύγκελλος Ἱεροσολύμων, ὁ γράψας ἐγκώμιον εἰς τὸν μέγαν Διονύσιον. καὶ ζήτει ἐν τῷ Διονύσιος.

μ 1142 Μιχαίας: ὄνομα κύριον.

μ 1143 Μιχθῆναι ἢ μιγῆναι: ἀπαντῆσαι, συμμίξαι, ὁμιλῆσαι.

μ 1144 Μνᾶ: ἑκατὸν δραχμαὶ ποιοῦσι μνᾶν μίαν. καὶ ζήτει ἐν τῷ τάλαντον.

μ 1145 Μνααῖος. οἱ τῶν Βαλιαρίδων νήσων σφενδονῆται μνααίους λίθους ἔβαλλον. καὶ αὖθις· μνααῖον διδοῦσι τοῦ κεραμίου ὑδρεύεσθαι τοῖς ἐθέλουσι.

μ 1146 Μναρόν: ἡδύ, μαλακόν.

μ 1147 Μνασέας, Βηρύτιος. ἔγραψε τέχνην ῥητορικὴν καὶ περὶ Ἀττικῶν ὀνομάτων.

μ 1148 Μνάσωνος: ὄνομα κύριον.

μ 1149 Μνᾶται: μνηστεύεται.

μ 1150 Μναιαῖον καὶ Δεκαμναιαῖον.

μ 1151 Μναίκιος: ὄνομα κύριον.

μ 1152 Μνεῦις: ὄνομα κύριον Αἰγυπτίου θεοῦ.

μ 1153 Μνείαν: τὴν μνήμην. Σοφοκλῆς.

μ 1154 Μνημεῖον: ὁ τάφος. ἐχρήσαντο δὲ τῷ ὀνόματι οἱ ῥήτορες καὶ ἐπὶ τάφου καὶ τοῦ ἔργου καὶ πράγματος οὗ μνημονεύοιτο ἄν τις. Αἰλιανός φησι· φυλάττεσθαί τε ἔτι μνημεῖον τῆς τιμωρίας τῆς ἐκείνου, καθάπερ οὖν κακοῦ διαδοχήν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μ 1155 Μνήμη· ὅτι ἐν τῇ ψυχῇ τοῦ μὲν προσδοκωμένου ἐστὶν ἐλπίς, τοῦ δὲ παρόντος αἴσθησις, τοῦ δὲ ἀπόντος μνήμη. περὶ μνήμης. ὅτι οὐδὲν ἕξει ἡ ψυχὴ ἅπερ ἐκ τῆς συμπλοκῆς τοῦ σώματος αὐτῇ προσεγένετο, ὥσπερ τὸ διανοεῖσθαι· ὥστε οὐδὲ μνημονεύει. καὶ γὰρ ἐνταῦθα μὲν παραρρέουσά ἐστιν ἡ γνῶσις αὐτῆς καὶ δεῖται μνήμης εἰς κατοχὴν τῶν ἐγνωσμένων, τότε δὲ οὐκ ἔχει τὸ πρότερον καὶ τὸ ὕστερον ἡ γνῶσις, εἰ μὴ κατὰ τὴν προχείρησιν τῶν θεωρημάτων, ἀλλ' ἀεὶ ἕστηκε καὶ ἐν τῷ νῦν ἐξετάζεται, καὶ μετὰ τὸ σῶμα ἅτε ἑστῶσα τὴν γνῶσιν καὶ αὐτοῖς προσβάλλουσα τοῖς πράγμασι μνήμης οὐ δεῖται· μνήμη γάρ ἐστιν ἡ τῶν πάλαι ἐγνωσμένων κατοχή. μνήμη δ' ἐστὶν ἕξις καθεκτικὴ ὑπολήψεως. ὁ δὲ Ἀριστοτέλης τόπους τινὰς καὶ ἐν τῷ Περὶ μνήμης καὶ ὕπνου καὶ τῆς καθ' ὕπνον μαντικῆς παρέθετο, δι' ὧν ἀναμιμνήσκεσθαι καὶ ἀπὸ ἐναντίων καὶ ἀπὸ τῶν ὁμοίων καὶ ἀπ' ἄλλων τινῶν. οἱ γὰρ τόποι οὗτοι αἴτιοι τοῦ ἀναμιμνήσκεσθαι ἡμῖν γίνονται. δι' ἐναντίων γὰρ φέρε εἰπεῖν εὐθὺς εἰς τὸ εἰρημένον τῶν ἐναντίων μεταβάντες ἀναμιμνησκόμεθα τούτου, ἀπὸ πικροῦ γλυκέος, ἀπὸ λευκοῦ μέλανος, ἀπὸ ψύχους καύματος. ὅτι τρία μέρη εὐμαθείας ἀγχίνοια, μνήμη, ὀξύτης. καὶ μνήμη μέν ἐστι τήρησις ὧν ἔμαθέ τις, ὀξύτης δὲ ἡ ταχύτης τῆς διανοίας, ἀγχίνοια δὲ τὸ ἐξ ὧν ἔμαθε θηρεύειν καὶ ἃ μὴ ἔμαθε.

μ 1156 Μνημήϊα: μνημόσυνα.

μ 1157 Μνημονεύω· γενικῇ. Διαμνημονεύω δὲ αἰτιατικῇ.

μ 1158 Μνήμονος: μνημονικοῦ.

μ 1159 Μνημοσύνη: μνήμη. καὶ Μνημόσυνον.

μ 1160 Μνήσαρχος: ὄνομα κύριον.

μ 1161 Μνησάσκετο: ἐμέμνητο.

μ 1162 Μνησιθείδης: ὄνομα κύριον.

μ 1163 Μνησικακεῖν· δοτικῇ. Πολύβιος· τοῦ μνησικακεῖν ἐπὶ τοῖς γεγονόσιν οὐδ' ἡντιναοῦν ἔμφασιν ἐποίουν οἱ Ῥωμαῖοι.

μ 1164 Μνησίμαχος, ποιητὴς τῆς μέσης κωμῳδίας. τῶν δραμάτων αὐτοῦ ἐστιν Ἱπποτρόφος, Βούσιρις, Φίλιππος, ὡς Ἀθήναιος ἐν Δειπνοσοφισταῖς.

μ 1165 Μνησιστράτιος: ὄνομα κύριον. Μνησιστράτειος δὲ λόγος.

μ 1166 Μνησθῶ· γενικῇ.

μ 1167 Μνηστή: ἡ κατὰ μνηστείαν γαμηθεῖσα ἢ ἐκ παρθενίας μένουσα μνηστή, ὅ ἐστιν ἀπείρανδρος. καὶ Μνηστεία.

μ 1168 Μνηστῆρας· τοὺς μὲν τῆς ἀρχῆς τῆς ὑπάτου μνηστῆρας παρ' οὐδὲν ἐποιήσαντο· αἱροῦνται δὲ αὐτοὶ πολέμων εὖ εἰδότα πάλαι καὶ γενναίων καὶ περιβλέπτων ἔργων ἀγωνιστήν.

μ 1169 Μνῆστις: μνήμη. ἀλλ' ἴσχε κἀμοῦ μνῆστιν. ἀνδρί τοι χρεὼν μνήμην προσεῖναι, τερπνὸν εἴ τι που πάθοι. ὅτου δ' ἀπορρεῖ μνῆστις εὖ πεπονθότος, οὔπως γένοιτ' ἂν οὗτος εὐγενὴς ἀνήρ. καὶ αὖθις· μήτηρ υἷα λιπόντα μάχην μετὰ πότμον ἑταίρων ἔκτανεν ὠδίνων μνῆστιν ἀνηναμένη.

μ 1170 Μνήστορα: ἐπιστήμονα. ὁ δὲ τῶν μηχανημάτων φέρει τὸν μνήστορα.

μ 1171 Μνία: τὰ τῆς θαλάσσης ἐξανθήματα, ἢ βρύα.

μ 1172 Μνιαρόν. ἀλλὰ δέχευ μνιαροῖο βαθυρραίνοιο τάπητος ἔνδυτον, εὐανθεῖ πορφύρῃ εἰδόμενον.

μ 1173 Μνίει: ἐσθίει.

μ 1174 Μνόωντο: ἐμνηστεύοντο.

μ 1175 Μνοῦς: ἡ ἁπαλὴ θρίξ. ἐν Ἐπιγράμμασι· καὶ μνοῦ χρῶτα τερεινοτέρη.

μ 1176

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Μνῶ: μνήσκω. τὸ μνῶ οὐκ ἔστιν περισπώμενον, οὐδὲ γὰρ ἐντέλειαν ἔχει, ἀλλ’ ἐπεὶ μονοσύλλαβόν ἐστιν, ἐξ ἀνάγκης περιεσπάσθη.

μ 1177 Μνωμένη: μνηστευομένη. ὅτι Κῦρος Τώμυριν μνώμενος, ὥς οἱ δόλῳ οὐ προεχώρεεν, ἐκ τοῦ ἐμφανοῦς ἤλασε τὴν στρατιάν.

μ 1178 Μογερῶν: μοχθηρῶν.

μ 1179 Μογήσας: καμών, κακοπαθήσας. δύο κακοῖς μογῶν, ἀγρυπνίᾳ τε ἀναλισκόμενος καὶ δέει τειρόμενος.

μ 1180 Μογγιλάλος: μόγις λαλῶν.

μ 1181 Μόγις:

μ 1182 Μογοστόκος: περὶ τοὺς τόκους κακοπαθοῦσα. ἔνιοι δὲ ἡ μόγους ταῖς τικτούσαις ἐπιφέρουσα.

μ 1183 Μόγῳ: κακοπαθείᾳ.

μ 1184 Μόδιον: μέτρον τι.

μ 1185 Μόδιος· καὶ ζήτει ἐν τῷ Μαναΐμ.

μ 1186 Μόθος: μάχη, πόλεμος, τάραχος, φόβος, σπᾶσις, θόρυβος.

μ 1187 Μόθων: ὁ φορτικὸς καὶ ἄτιμος. καὶ εἶδος αἰσχρᾶς καὶ δουλοπρεποῦς ὀρχήσεως, καὶ φορτικῆς.

μ 1188 Μόθωνες: παρὰ Ἀριστοφάνει οἱ εὐτελεῖς· μόθωνας γὰρ ἐκάλουν τοὺς παρεπομένους τοῖς ἐλευθέροις παῖδας οἱ Λάκωνες. ἔστι δὲ καὶ γένος ὀρχήσεως.

μ 1189 Μοθώνη: ὄνομα πόλεως. καὶ Μοθωναῖος, ὁ πολίτης.

μ 1190 Μοθωνία: ἡ ἀλαζονεία. παρὰ τὸ μόθος. ἔστι δὲ καὶ χώρα.

μ 1191 Μολγός: ὁ βραδύς· ἢ ὁ τυφλός. οὕτω δὲ ἔλεγον τοὺς ἐξαμέλγοντας καὶ κλέπτοντας τὰ κοινά. ἢ ὁ πένης, παρὰ τὸ ἀμέλγεσθαι καὶ ζημιοῦσθαι. Ἀριστοφάνης· μολγόν σε ποιήσω. παρὰ δὲ τοῖς κωμικοῖς μολγός, ὁ μοχθηρός. λέγεται δὲ καὶ ἀμολγὸς ὁ αὐτός. ἀμολγὸς γοῦν ὁ ἀμέλγων τὰ κοινά.

μ 1192 Μολεῖν: ἐλθεῖν.

μ 1193 Μόλις.

μ 1194 Μόλιβος· μόλυβδος δέ.

μ 1195 Μολοβρίς· καὶ Μολοβρός, ὁ πτωχός.

μ 1196 Μολοθρός.

μ 1197 Μόλος: ὄνομα κύριον.

μ 1198 Μολοσσὸς καὶ Μολοττὸς κύων: ὁ ποιμενικός, καὶ μέγας.

μ 1199 Μολοττός· ὅτι οἱ Μολοττοὶ ἐν τοῖς ὁρκωμοσίοις κατακόπτοντες εἰς μικρὰ τὰς βοῦς τὰς συνθήκας ἐποιοῦντο. καὶ ζήτει ἐν τῷ βοῦς ὁ Μολοττῶν.

μ 1200 Μολοῦσα: παραγενομένη, πορευθεῖσα.

μ 1201 Μολόχ: εἴδωλον τῶν Μωαβιτῶν.

μ 1202 Μολών: ἐλθών, ἐληλυθώς.

μ 1203 Μόλων: ὄνομα κύριον. Ἀριστοφάνης· μικρός, ἡλίκος Μόλων. ἐπὶ τῶν βραχυσωμάτων ἀνθρώπων. πόσος πόθος; μικρός, ἡλίκος Μόλων. Μόλωνες δὲ δύο, ὑποκριταὶ καὶ λωποδύται.

μ 1204 Μολπαγόρας· οὗτος ἦν παρὰ τοῖς Κείοις καὶ λέγειν καὶ πράττειν ἱκανός, κατὰ δὲ τὴν αἵρεσιν πλεονέκτης. ὃς πρὸς χάριν ὁμιλῶν τῷ πλήθει καὶ τοὺς εὐκαιροῦντας τοῖς βίοις ὑποβάλλων τοῖς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὄχλοις καί τινας ἐς τέλος ἀναιρῶν, τινὰς δὲ φυγαδεύων καὶ τὰς οὐσίας τούτων δημεύων καὶ διαδιδοὺς τοῖς πολλοῖς ταχέως τῷ τοιούτῳ τρόπῳ περιεποιήσατο μοναρχικὴν ἐξουσίαν.

μ 1205 Μολπή: ᾠδή. παρὰ Ὁμήρῳ δὲ τὸ παίγνιον. μολπῇ τ' ὀρχηθμῷ τε· τὰ γάρ τ' ἀναθήματα δαιτός. καὶ αὖθις· μολπῆς δ' οὐ λῆγε μελιτερπέος.

μ 1206 Μόλπις: μετὰ τοὺς λ′ δέκα ἄνδρες ἦρχον ἐν τῷ Πειραιεῖ, ὧν εἷς ἦν ὁ Μόλπις.

μ 1207 Μολύβδαινα: μολυβδίδα.

μ 1208 Μολυβδίνη: ὄνομα πόλεως.

μ 1209 Μόλυβδος· εἰς ἐλασμοὺς μολύβδων γράφοντες.

μ 1210 Μολύνω· αἰτιατικῇ.

μ 1211 Μολυρίς, Μολυρίδος. μολυρίδας τὰς ἀκρίδας φασί.

μ 1212 Μομβρώ: ἡ μορμώ, καὶ τὸ φόβητρον.

μ 1213 Μονανδρεῖ. οὐκ ᾔδεισαν Αἰγυπτίων αἱ γυναῖκες τὸ παλαιὸν μονανδρεῖν.

μ 1214 Μοναρχία: μονοκρατία. Πολύβιος· ἡ τῶν μονάρχων ἀσφάλεια τοπαράπαν ἐν τῇ τῶν ξένων εὐνοίᾳ κεῖται καὶ δυνάμει. καὶ Μοναρχῶ· γενικῇ.

μ 1215 Μοναχῇ: ἐπίρρημα, ἀντὶ τοῦ μοναχῶς. Ξενοφῶν· ὡς ἐπὶ τῇ ὑπερβολῇ τοῦ ὄρους, ᾗπερ μοναχῇ εἴη πορεία, ἐπιθησόμενοι τοῖς Ἕλλησι.

μ 1216 Μοναχός· φησὶ Διονύσιος· ἡ δὲ τῶν τελουμένων ἁπασῶν ὑψηλοτέρα τάξις ἡ τῶν μοναχῶν ἐστιν ἱερὰ διακόσμησις, πᾶσαν μὲν ἀποκεκαθαρμένη κάθαρσιν ὁλικῇ δυνάμει καὶ παντελεῖ τῶν οἰκείων ἐνεργειῶν ἁγνότητι, πάσης δὲ οὔσης θεμιτὸν θεωρεῖν αὐτῇ ἱερουργίας, ἐν νοερᾷ θεωρίᾳ καὶ κοινωνίᾳ γεγενημένη καὶ ταῖς τῶν ἱεραρχῶν τελειωτικαῖς δυνάμεσιν ἐγχειριζομένη καὶ ταῖς ἐνθέοις αὐτῶν ἐλλάμψεσι καὶ ἱεραρχικαῖς παραδόσεσιν ἐκδιδασκομένη καὶ τὰς ἐποπτευθείσας τῶν κατ' αὐτὴν ἱερῶν τελετῶν ἱερουργίας καὶ πρὸς τῆς ἱερᾶς αὐτῶν ἐπιστήμης ἀναλόγως εἰς τελειοτάτην ἀγομένη τελείωσιν. ἔνθεν οἱ θεῖοι καθηγεμόνες ἡμῶν ἐπωνυμιῶν αὐτοὺς ἱερῶν ἠξίωσαν, καὶ οἱ μὲν θεραπευτάς, οἱ δὲ μοναχοὺς ὀνομάσαντες, ἐκ τῆς τοῦ θεοῦ καθαρᾶς ὑπηρεσίας καὶ θεραπείας καὶ τῆς ἀμερίστου καὶ ἑνιαίας ζωῆς ὡς ἑνοποιούσης αὐτοὺς ἐν ταῖς τῶν διαιρετῶν ἱεραῖς συμπτύξεσιν εἰς θεοειδῆ μονάδα καὶ φιλόθεον τελείωσιν. διὸ καὶ τελεστικὴν αὐτὴν ἡ ἱερὰ θεσμοθεσία χάριν ἐκάλεσε· καί τινος αὐτοὺς ἠξίωσεν ἀφιερωτικῆς ἐπικλήσεως, οὐχ ἱερατικῆς (ἐκείνη γὰρ ἐπὶ μόναις γίνεται ταῖς ἱερατικαῖς τάξεσιν), ἀλλ' ἱεραρχικῆς ὑπὸ τῶν ὁσίων ἱερέων τῇ ἱεραρχικῇ τελειουργίᾳ δευτέρως ἱερουργουμένη. περὶ μοναχῶν· ἐκεῖσε δὴ φροντιστήριον ἦν ἀνδρῶν φιλοσόφων τὸν βίον· μοναχοὶ δὲ οὗτοι κατονομάζονται, οἷς ἔργον προεκδημεῖν τοῦ σώματος καὶ ζῶντας τεθνάναι καὶ σώφρονι μανίᾳ τινι μεταφοιτᾶν πρὸς τὰ κρείττονα.

μ 1217 Μόναισος: ὄνομα κύριον.

μ 1218 Μονειφορῶ: ἓν ἱμάτιον φορῶ.

μ 1219 Μονήρης βίος. τοῖς τὸν μονήρη ἐπανῃρημένοις βίον οὕτω διάγειν ὡς μονήρη, καὶ τὸν ἱερᾶσθαι λαχόντα ὁσίως ἱερατεύειν, καὶ ἕκαστον ἃ ἤσκηται μετιέναι.

μ 1220 Μονήτα: ἡ Ἥρα παρὰ Ῥωμαίοις ἐξ αἰτίας τοιᾶσδε. Ῥωμαῖοι δεηθέντες χρημάτων ἐν τῷ πρὸς Πύρρον καὶ Ταραντίνους πολέμῳ ηὔξαντο τῇ Ἥρᾳ· τὴν δὲ χρῆσαι αὐτοῖς, εἰ τῶν ὅπλων ἀνθέξονται μετὰ δικαιοσύνης, χρήματα αὐτοῖς μὴ ἐπιλείψειν. τύχοντες οὖν οἱ Ῥωμαῖοι τῆς αἰτήσεως ἐτίμησαν Ἥραν Μονήταν, τουτέστι σύμβουλον, τὸ νόμισμα ἐν τῷ ἱερῷ αὐτῆς ὁρίσαντες χαράττεσθαι.

μ 1221 Μονιός: ἄγριος ὗς. ὁ μεμονωμένος· ἢ ὁ μονόλυκος.

μ 1222 Μονίπποις: τοῖς ἐπὶ ἑνὸς ἵππου ἀγωνιζομένοις δρόμον.

μ 1223 Μονιτάριοι: οἱ περὶ τὸ νόμισμα τεχνῖται· οἳ ἐπὶ Αὐρηλιανοῦ διέφθειραν τὸ νόμισμα καὶ τὸν ἴδιον ἄρχοντα Φηλικήσιμον ἀνελόντες ἐμφύλιον ἐγείρουσι πόλεμον· οὓς μόλις Αὐρηλιανὸς χειρωσάμενος ὑπερβαλλούσῃ κολάσεων ὠμότητι κατειργάσατο.

μ 1224 Μονογενῆ: τὴν μονότητα. Δαβίδ· καὶ ἐκ χειρὸς κυνὸς τὴν μονογενῆ μου.

μ 1225 Μονόζωνοι: ἔφοδοι βάρβαροι· ἢ ἀπελάται μάχιμοι. Σοφοκλῆς· εἰ δ’ ἄνδρ’ ἕν’ οἰόζωνον αὐδήσει, σαφῶς τοῦτ’ ἐστὶν ἤδη τοὖργον εἰς ἐμὲ ῥέπον.

μ 1226 Μονόζωνοι: οἱ τίμιοι τῶν στρατιωτῶν, οἱ μὴ τὸν αὐτὸν τοῖς ἄλλοις ζωστῆρα φοροῦντες· οἱ ἀσύντακτοι καὶ ὡσανεὶ λῃσταί.

μ 1227 Μονοείμονα: μονοχίτωνα.

μ 1228 Μονόκερως: ζῷον, ὃ παρὰ τῆς φύσεως ἓν κέρας ἔλαβεν. οὕτω καὶ οἱ τῆς εὐσεβείας τρόφιμοι μίαν προσκυνοῦσι θεότητα. Δαβίδ· καὶ ὑψωθήσεται ὡς μονοκέρωτος τὸ κέρας μου.

μ 1229 Μονοκρήπιδι: τῷ Ἑρμῇ. φασὶ γὰρ τὸν θεὸν τοῦτον Περσεῖ ἐπὶ τὴν τῆς Γοργοῦς τομὴν ἀπιόντι τὸ ἕτερον τῶν ὑποδημάτων δόντα, τὸ ἕτερον ἔχειν μόνον.

μ 1230 Μονόλοπα: μονόδερμα, μονόφυλλα.

μ 1231 Μονομαχοτροφεῖον.

μ 1232 Μόνον καὶ ἓν διαφέρει: μονὰς ἡ ἐν τοῖς νοητοῖς οὖσα, ἓν δὲ τὸ ἐν τοῖς αἰσθητοῖς ἀριθμοῖς. καὶ ἡ μὲν μονὰς κατὰ τὴν ἰσότητα καὶ μέτρον λαμβάνεται, ἡ δὲ δυὰς καθ’ ὑπερβολὴν καὶ ἔλλειψιν.

μ 1233 Μονονοῦ: ἀντὶ τοῦ μονονουχί.

μ 1234 Μονονουχί: σχεδόν, ἐγγύς. ἀντὶ τοῦ κυρίως εἰπεῖν ἢ παρ’ ὀλίγον εἰπεῖν. μονονουχὶ τὸ τῆς τραγῳδίας ἐπιφθεγγόμενον· ἐχθρῶν ἄδωρα δῶρα.

μ 1235 Μόνος θεῶν θάνατος οὐ δώρων ἐρᾷ· Αἰσχύλος φησί.

μ 1236 Μονοστόλῳ: μίαν στολὴν ἔχοντι.

μ 1237 Μονότροπος: μόνος τραφείς, ἀγαθός, ἀγύναιος.

μ 1238 Μονοτρόπους: τοὺς ἕνα σκοπὸν ἔχοντας καὶ τῆς ἀρετῆς μόνης ἐπιμελουμένους καὶ μὴ νῦν μὲν ταῦτα, νῦν δὲ ἐκεῖνα προαιρουμένους.

μ 1239 Μονουχία: ὁ μόνος βίος, χωρὶς γάμων.

μ 1240 Μονουχιῶνος. ὄνομα μηνός.

μ 1241 Μονοχίτωνος.

μ 1242 Μονῳδεῖν: τὸ θρηνεῖν· ἐπιεικῶς γὰρ πᾶσαι αἱ ἀπὸ σκηνῆς ᾠδαὶ ἐν τῇ τραγῳδίᾳ θρῆνοί εἰσιν. Ἀριστοφάνης· εἶτ’ ἀνέτρεφον μονῳδίαις Κιφησοφῶντα μιγνύς. οὗτος ὁ Κιφησοφῶν δοῦλος ἦν συμπονῶν αὐτῷ μάλιστα τὰ μέλη. ἐκωμῴδει συνεῖναι τῇ γυναικί.

μ 1243 Μονῳδεῖν ἐκ Μηδείας· ὀλόμαν, ὀλόμαν, ἀποχειρωθεὶς τὰς ἐν τεύτλοισι λοχευομένας. περὶ Μελανθίου λέγει τοῦ ὀψοφάγου, ὅτι ἀφικόμενος ἐν τῇ ἀγορᾷ ὀψωνῆσαι ἐγχέλεις καὶ μὴ εὑρὼν σχετλιάσοι· παρόσον οἱ μάγειροι μετὰ τεύτλων ἕψουσι τὰς ἐγχέλεις.

μ 1244 Μονῳδία: ἡ ἀπὸ σκηνῆς ᾠδὴ ἐν τοῖς δράμασι. καὶ μονῳδεῖν τὸ θρηνεῖν. Μονῳδία λέγεται, ὅταν εἷς μόνος λέγῃ τὴν ᾠδὴν καὶ οὐχ ὁμοῦ ὁ χορός. Μονῳδία ἐστὶ θρῆνος ᾠδῆς μήτε προσωποποιΐαν ἔχων μήτ’ ἠθοποιΐαν. καὶ τὸ μεῖζον, οἱ μὲν ἄλλοι τοὺς ἐκπεπτωκότας σοφίας θρηνοῦσι, σὺ δὲ ὡς ἀλιτηρίους καὶ μηδέποτε γευσαμένους αὐτῆς τεθρήνηκας.

μ 1245 Μόξος, Λυδός· ὃς πολλὰ καὶ καλὰ ἐργασάμενος καὶ τὸν Μήλην τῆς τυραννίδος καθελὼν τοῖς Λυδοῖς παρεκελεύσατο τὴν δεκάτην ἀποδοῦναι, καθ’ ὃ ηὔξατο, τοῖς θεοῖς. οἱ δὲ ἐπείθοντο καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀπαριθμοῦντες τὰ κτήματα ἐξῄρουν δεκάτην ἁπάντων καὶ κατέθυον. ἐκ τούτου μέγιστος αὐχμὸς καταλαμβάνει Λυδίαν. καὶ πολλὰς στρατιὰς λέγεται πεποιῆσθαι. καὶ ἦν αὐτοῦ κλέος μέγιστον ἐν Λυδοῖς ἐπί τε ἀνδρείᾳ καὶ δικαιοσύνῃ. ταῦτα πράξας ἐπὶ τὴν Κράβον ἐστάλη καὶ ταύτην εἷλε καὶ ἐπόρθησε, τοὺς δὲ ἀνθρώπους εἰς τὴν πλησίον λίμνην ἀγαγὼν κατεπόντωσε.

μ 1246 Μόρα: τὰ συκάμινα.

μ 1247 Μοργούς· ὅτι οὕτω καλοῦσι τοὺς ἀμοργοὺς τὸ α ἀφαιροῦντες, ὥσπερ καὶ ἐπ' ἄλλων· μαῦρον γὰρ τὸ ἀμαυρὸν καὶ σφόδελον τὸν ἀσφόδελον καλοῦσι.

μ 1248 Μορίαι: ἐλαῖαι ἱεραὶ τῆς Ἀθηνᾶς, ἐξ ὧν τὸ ἔλαιον ἔπαθλον ἐδίδοτο τοῖς νικῶσι τὰ Παναθήναια. ἦσαν δὲ πρῶται ιβʹ τὸν ἀριθμόν, αἱ μεταφυτευθεῖσαι ἐκ τῆς ἀκροπόλεως εἰς Ἀκαδημίαν. ἤτοι ἀπὸ τοῦ μόρου καὶ τοῦ φόνου τοῦ Ἁλιρροθίου ὀνομασθεῖσαι, οὕτως ἢ ὅτι ἐνέμοντο καὶ ἐμερίζοντο τὸ ἔλαιον τὸ ἐξ αὐτῶν Ἀθηναῖοι ἅπαντες. τῆς δὲ μορίας τοῦ στελέχου σηκὸς καλεῖται. Λυσίας· ἄρχοντος σηκὸν ὑπ' ἐμοῦ ἐκκεκόφθαι. ἐπεφύτευτο δὲ ἐν τῷ γυμνασίῳ δένδρη. ἔθος δὲ τοῖς ἀσκουμένοις ἀλειψαμένοις ἐν τῷ ἡλίῳ τρέχειν. Ἀριστοφάνης· ἀλλ' εἰς Ἀκαδήμιαν κατιὼν ὑπὸ ταῖς μορίαις ἀποθρέξεις.

μ 1249 Μόριον: τὸ αἰδοῖον μέρος τοῦ σώματος.

μ 1250 Μορμολύκεια: τὰ τῶν τραγῳδῶν προσωπεῖα. τὰ τῶν ὑποκριτῶν προσωπεῖα, ἃ Δωριεῖς γόργια καλοῦσιν. ἔνθεν καὶ τὸ ἐκφοβῆσαι μορμολύξασθαι. δόκησις ἦν τὸ ἀντίμαχον, μορμολυκεῖον ὄψεως καὶ διανοίας κατάπληξις.

μ 1251 Μορμολύττεται· αἰτιατικῇ. φοβεῖ. Ἀσκίῳ μορμολύττεις, ἐπὶ τῶν τὰ κενὰ δεδοικότων· ἐπεὶ κενὸς ὁ ἀσκός. ἐμορμολύξαντο σφᾶς, ὡς ἀνύποιστόν τι πλῆθος ἔπεισι κατ' αὐτῶν. τουτέστιν ἐξεφόβησαν, εἰς πτοίαν καὶ ὀρρωδίαν ἤγαγον.

μ 1252 Μορμώ: λέγεται καὶ Μορμώ, Μορμοῦς, ὡς Σαπφώ. καὶ Μορμών, Μορμόνος. Ἀριστοφάνης· ἀντιβολῶ ς', ἀπένεγκέ μου τὴν Μορμόνα. ἄπο τὰ φοβερά· φοβερὰ γὰρ ὑπῆρχεν ἡ Μορμώ. καὶ αὖθις Ἀριστοφάνης· Μορμὼ τοῦ θράσους. μορμολύκειον, ἣν λέγουσι Λαμίαν· ἔλεγον δὲ οὕτω καὶ τὰ φοβερά. λείπει δὲ τὸ ὡς, ὡς Μορμώ, ἢ ἐπιρρηματικῶς ἐξενήνεκται, ὡς εἰ ἔλεγε, φεῦ τοῦ θράσους.

μ 1253 Μορμυρίζει: καταταράττει, ἠχεῖ, ὡς ἐπὶ ὑδάτων.

μ 1254 Μορμύρων: ποταμὸς ῥεύματα ἔχων.

μ 1255 Μορμυρωπός· ἥλιος ἀμαυρὸς ἢ ὕφαιμος ἢ μορμυρωπὸς πᾶσιν ὁρώμενος κατ' ὄναρ πονηρός.

μ 1256 Μορόεις, καὶ οὐδετέρως μορόεντα, τὰ μετὰ κόπου καμνόμενα.

μ 1257 Μόρος: ὀδύνη, πόνος, θάνατος.

μ 1258 Μόρσιμον: εἱμαρμένον, μεμοιραμένον. ἀμφὶ δ' Ἐριννὺς φοίνιος ἐκ στομάτων μόρσιμον ἧκεν ὄπα.

μ 1259 Μορῶν· Δημοσθένης ἐν Φιλιππικοῖς. συντάγματά τινα Λακωνικὰ οὕτω καλεῖται. φησὶ δὲ Ἀριστοτέλης, ὥς εἰσι μοῖραι ἓξ ὠνομασμέναι, καὶ διῄρηνται εἰς τὰς μοίρας Λακεδαιμόνιοι πάντες. Ξενοφῶν δέ φησιν ἐν τῇ Λακώνων πολιτείᾳ· ἑκάστη δὲ τῶν πολιτικῶν μορῶν ἔχει πολέμαρχον ἕνα, λοχαγοὺς δʹ, πεντηκοστύας ηʹ, ἐννομοτάρχας ἑκκαίδεκα.

μ 1260 Μόρσιμον καὶ Μελάνθιον: ἄμφω διαβάλλει Ἀριστοφάνης λέγων οὕτως· Γοργόνες ὀψοφάγοι, βατιδοσκόποι Ἅρπυιαι, γραιοσόβαι μιαροί, τραγομάσχαλοι ἰχθυολῦμαι· ὧν καταχρεμψαμένη μέγα καὶ πλατύ, Μοῦσα θεά, μετ' ἐμοῦ ξύμπαιζε τὴν ἑορτήν.

μ 1261 Μόρσιμος καὶ Μελάνθιος, ποιηταὶ τραγικοί. Μόρσιμος δὲ Φιλοκλέους τοῦ τραγικοῦ υἱός, ποιητὴς ψυχρός· ἦν δὲ καὶ ἰατρός. Ἀριστοφάνης· διδασκοίμην προσᾴδειν Μορσίμου τραγῳδίαν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τουτέστιν ἐκλαβοίμην καὶ συριττοίμην, ὡς ἐκεῖνος· πονηρῶν γὰρ ὄντων αὐτοῦ τῶν ποιημάτων, ἐν ἀρᾶς ἔθηκε μέρει. Μελάνθιος δὲ ἐκωμῳδεῖτο εἰς ὀψοφαγίαν· καὶ πολὺ μᾶλλον ἐν τοῖς Κόλαξιν. ἦν δὲ καὶ κίναιδος.

μ 1262 Μόρσιμος, τραγῳδίας ποιητής, ὀφθαλμῶν ἰατρός, μικρός, ὑπόψυχρος. Μόρσιμος· τοῦτο ἔφη Ἀπολλώνιος ὁ Τυανεὺς πρὸς Δομετιανὸν βασιλέα δεσμευθεὶς ὑπ' αὐτοῦ· οὐ μέν με κτενέεις, ἐπεὶ οὔ τοι μόρσιμός εἰμι. καὶ τοῦτο εἰπὼν ἄδηλος ᾤχετο.

μ 1263 Μορυχίδης: ὄνομα κύριον.

μ 1264 Μόρυχος: ὄνομα κύριον. ὃς ἐπὶ ὀψοφαγίᾳ ἐκωμῳδεῖτο· ἦν δὲ καὶ τῶν ἡδέως βιούντων· τραγῳδίας ποιητής. καὶ Ἀριστοφάνης· ὦ φιλτάτη σὺ καὶ πάλαι ποθουμένη, φίλη Μορύχῳ.

μ 1265 Μόρυχος, Τελέα, Γλαυκέτης: ὀνόματα κύρια. οὗτοι ἐπὶ μαγγανείᾳ διεβέβληντο.

μ 1266 Μόρυχος· ὅπερ ἔοικε Μορύχου γένος καὶ σάγμα. σάγμα δὲ ἡ θήκη τοῦ ὅπλου. καὶ παροιμία· Μορύχου εὐηθέστερος· ἐπὶ τῶν εὐήθές τι διαπραττομένων. ἐπίθετον δέ ἐστι τοῦ Διονύσου, ἀπὸ τοῦ μορύξαι, ὅ ἐστι μολῦναι, ἐπειδὰν τρυγῶσι, τῶν βοτρύων τῷ γλεύκει καὶ τοῖς χλωροῖς σύκοις.

μ 1267 Μορφή: εἶδος, ἰδέα, πρόσοψις. Μορφὴ καὶ εἶδος ταὐτόν ἐστι. καὶ μορφὴ μὲν ἐπὶ ἐμψύχων, σχῆμα δὲ ἐπὶ ἀψύχων. τὶ διαφέρει μορφὴ σχήματος· ὁ δὲ Ἀπόστολος· καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος.

μ 1268 Μορφνόν: σκοτεινόν.

μ 1269 Μορφνός: εἶδος ἀετοῦ. οἱονεὶ μορόφονός τις ὤν, ὁ ἀεὶ περὶ φόνου μεμορημένος· μόνοι γὰρ οὗτοι τῶν ἀετῶν οὐ κυνηγοῦσιν, ἀλλὰ νεκροῖς σώμασι τρέφονται.

μ 1270 Μόρφωσιν: σχηματισμόν, εἰκόνα.

μ 1271 Μορφοῦμαι· δοτικῇ.

μ 1272 Μόσσυνες: ἐπάλξεις, πύργοι.

μ 1273 Μοσχεύματα: ἁπαλὰ φυτὰ δένδρων καὶ λαχάνων.

μ 1274 Μοσχεύων: μεταφυτεύων. Εὐνάπιος· οὗτοι μὲν ὧδε μένοντες ὑπεμόσχευον τὸν πόλεμον. ἀντὶ τοῦ ὑπέστρεφον, ὑπεφύτευον.

μ 1275 Μόσχια: ἁπαλὰ φυτά.

μ 1276 Μοσχίδια σύκων: οὕτω καλοῦνται αἱ νέαι συκαῖ. μοσχίδια δὲ τὰ νέα βλαστήματα. καὶ ἡ ἁπαλὴ καὶ νέα λύγος μόσχος. Ὅμηρος· μόσχοισι λύγοισι.

μ 1277 Μόσχον: ἁπαλόν.

μ 1278 Μόσχος, Συρακούσιος, γραμματικός, Ἀριστάρχου γνώριμος. οὗτός ἐστιν ὁ δεύτερος ποιητὴς μετὰ Θεόκριτον, τὸν τῶν βουκολικῶν δραμάτων ποιητήν. ἔγραψε καὶ αὐτός.

μ 1279 Μόσχος ᾄδων Βοιώτιον: Μόσχος φαῦλος κιθαρῳδὸς πολλὰ ἀπνευστὶ ᾄδων. τὸ δὲ Βοιώτιον οὕτω καλούμενον εὗρε Τέρπανδρος, ὥσπερ καὶ ὁ Φρύγιος.

μ 1280 Μόσχος Λιβάνου: ὃν ἐν Χωρὴβ ἐθεοποίησαν· ὃν Μωϋσῆς συνέτριψε καὶ ἐλέπτυνε.

μ 1281 Μοτάριον: ᾧ χρῶνται ἰατροὶ ἐν ταῖς πληγαῖς, πρὸς τὸ μὴ συντόμως ἐμφράττεσθαι αὐτάς.

μ 1282 Μοτώσει: ἰάσεται δι' ὀθονίων.

μ 1283 Μοτοφαγία: θυσία τις ἐν Σαλαμῖνι τῆς Κύπρου ἐπιτελουμένη.

μ 1284 Μοτοῖ: τιτρώσκει, ταράσσει.

μ 1285 Μουκιανός, ὁ Ῥωμαῖος. ζήτει ἐν τῷ ἀγήλειεν.

μ 1286 Μουνὰξ μάχη: ἡ μονομαχία.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μ 1287 Μουνυχιών: ὁ ι′ μὴν παρ’ Ἀθηναίοις. ἐν δὲ τούτῳ Ἀρτέμιδι ἔθυον Μουνυχίᾳ.

μ 1288 Μουνυχία: Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. τόπος παραθαλάσσιος ἐν τῇ Ἀττικῇ. Ἑλλάνικος δὲ ἐν δευτέρῳ Ἀτθίδος ὠνομάσθαι φησὶν ἀπὸ Μουνύχου τινὸς βασιλέως, τοῦ Παντακλέους.

μ 1289 Μούνυχος: ὄνομα κύριον· ὃς Μουνυχίας Ἀρτέμιδος ἱερὸν ἱδρύσατο.

μ 1290 Μουρήνας: ὄνομα κύριον.

μ 1291 Μοῦσα: ἡ γνῶσις. ἀπὸ τοῦ μῶ, τὸ ζητῶ· ἐπειδὴ ἁπάσης παιδείας αὕτη τυγχάνει αἰτία. εἰκότως οὖν οἱ ἀρχαῖοι Μοῦσαν αὐτὴν ἐκάλεσαν. εἰσὶ δὲ πᾶσαι ἐννέα· Κλειώ, Εὐτέρπη, Θάλεια, Μελπομένη, Τερψιχόρη, Ἐρατώ, Πολύμνια, Οὐρανία, Καλλιόπη. πολλὰς δὲ τὰς Μούσας ὑπὸ τῶν θεολόγων παραδεδόσθαι, διότι πολὺ τὸ ποικίλον ἔχει τὰ μαθήματα καὶ παιδεύματα, καὶ πρὸς πᾶσαν χρῆσιν οἰκεῖον.

μ 1292 Μοῦσα τραγική· ὅσα ἐπράττετο, καὶ μοῦσά τις ἂν ὀκνήσειεν εἰπεῖν τραγική. οὐ γὰρ βούλεται ταῦτα γίνεσθαι καὶ τὸ λέγειν ἀπηγόρευσε.

μ 1293 Μοῦσαι καλαὶ κ’ Ἄπολλον, οἷς ἐγὼ σπένδω: σύνταξις κατ’ ἐπικράτειαν τοῦ ἄρρενος, ὥσπερ καὶ παρὰ Σοφοκλεῖ· λύγδην ἔκλαιον πάντες. δύο θηλειῶν οὐσῶν καὶ ἑνὸς ἄρρενος, Οἰδίποδος καὶ τῶν δύο ἀδελφῶν. αἱ Μοῦσαι δὲ πτερῷ Σειρήνων ἐστεφανοῦντο.

μ 1294 Μουσαῖος, Ἐλευσίνιος ἐξ Ἀθηνῶν, υἱὸς Ἀντιφήμου, τοῦ Εὐφήμου, τοῦ Ἐκφάντου, τοῦ Κερκυῶνος, ὃν κατεπολέμησεν ὁ Θησεύς, καὶ Ἑλένης γυναικός· ἐποποιός, μαθητὴς Ὀρφέως, μᾶλλον δὲ πρεσβύτερος· ἤκμαζε γὰρ κατὰ τὸν δεύτερον Κέκροπα καὶ ἔγραψεν Ὑποθήκας Εὐμόλπῳ τῷ υἱῷ ἔπη ͵δ′. καὶ ἄλλα πλεῖστα.

μ 1295 Μουσαῖος, Θηβαῖος, Θαμύρα υἱός, τοῦ Φιλάμμωνος, μελοποιός, γεγονὼς πολλῷ πρὸ τῶν Τρωϊκῶν. ἔγραψε μέλη καὶ ᾄσματα.

μ 1296 Μουσαῖος, Ἐφέσιος, ἐποποιός, τῶν εἰς τοὺς Περγαμηνοὺς καὶ αὐτὸς κύκλους. ἔγραψε Περσηΐδος βιβλία ι′· καὶ εἰς Εὐμένη καὶ Ἄτταλον.

μ 1297 Μουσαῖος: παρ’ Ἕλλησι φιλόσοφος. Λυσίας πρὸς τὴν Μιξιδήμου γραφήν, 〈εἰ〉 γνήσιος· καὶ δύο παῖδας αὐτῷ ἀκολούθους εἶναι, ὧν οὗτος τὸν μὲν Μουσαῖον καλεῖ, τὸν δὲ Ἡσίοδον. ὅτι ὁ μὲν κρινόμενος ἐπετήδευε τοὺς οἰκέτας τοῦτο καλεῖν δῆλον. περὶ δὲ Μουσαίου οἱ μὲν ἐκ Θρᾴκης εἰρήκασι τὸν ἄνδρα εἶναι, οἱ δὲ αὐτόχθονα ἐξ Ἐλευσῖνος.

μ 1298 Μουσεῖον.

μ 1299 Μουσικά: τερπνά. τὰ δι’ αὐλῶν καὶ κινύρας καὶ τὰ ὅμοια. ὅτι μουσικῆς παλαιᾶς εὑρετὴς Ἀμφίων. καὶ ζήτει περὶ αὐτοῦ ἐν τῷ Ἀμφίων.

μ 1300 Μουσομανία· τὰ δὲ παρῳδημένα καὶ ἡ περὶ ταῦτα μουσομανία τῶν ἄστρων ἀπέψαυε.

μ 1301 Μουσόμαντις: κομπώδης. τοιοῦτοι γὰρ οἱ μάντεις καὶ οἱ ποιηταί· παρὰ τὸ ἐξ Ἠδωνῶν Αἰσχύλος· τίς ποτ’ ἔσται ὁ μουσόμαντις ἄλαλος, Ἀβρατεύς.

μ 1302 Μουσουργῶ· αἰτιατικῇ.

μ 1303 Μουσουργοί· ψάλτριαι. αἱ δὲ μουσουργοὶ βάρβαροι ἦσαν γυναῖκες· ὄνομα αὐταῖς ἐπιχώριον βάρζα. καὶ τούτων αἱ μὲν αὐλοῦσιν, αἱ δὲ ψάλλουσι πενταχόρδῳ, αἱ δὲ ἑπταχόρδῳ ψαλτηρίῳ· αἱ αὐταὶ δὲ καὶ προσᾴδουσι τῷ ψαλμῷ. ὁ ψαλμὸς δὲ οὐ πρὸς τὴν ᾠδὴν ἔχει πεποιημένον τὸ μέλος καθάπερ παρ’ Ἕλλησιν, ἀλλ’ ἔστιν οἷος ἐνδόσιμος εἶναι τῇ ᾠδῇ. καὶ λήγοντι μὲν οὖν τοῦ πότου βασιλεῖ καὶ ἡ ᾠδὴ ξυνεπαύετο· ὁπότε δὲ ἐγχέαι κελεύσειεν, αὖθις ἤρχοντο ᾄδειν καὶ ψάλλειν. ὁ δὲ Ἀρβαζάκιος μουσουργοῖς συνέζη τοσαύταις, ὅσας οὔτ’ ἐκεῖνος ἀριθμεῖν εἶχεν οὔτε οἱ προσήκοντες λογισταί. τῶν γὰρ στρατιωτῶν ᾔδεσαν τὸ πλῆθος· τῶν ἑταιρῶν δὲ καὶ τὸν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀριθμὸν τὸν ἐκ τῶν χειρῶν διέφυγεν. ὥσπερ οὖν Ὀρόντην τὸν Πέρσην φασὶν εἰπεῖν, ὅτι τῶν δακτύλων ὁ μικρότατος καὶ μυρία σημαίνει καὶ ἕνα ἀριθμόν, οὕτω κἀκεῖνοι τὰς ἑταίρας κατὰ μονάδα καὶ μυριάδα ἠρίθμουν.

μ 1304 Μουσωθῆναι: παρὰ μουσῶν διδαχθῆναι. μήτε γὰρ εἶναι ποιητικὸς μήτε μὴν μουσωθῆναι παιάνων καὶ ὕμνων ἐπιστήμονα σοφίαν. καὶ Μεμούσωμαι: πεπαίδευμαι. ἐγὼ γυνὴ μέν εἰμι, μοῦσα δ’ ἔνεστί μοι, αὐτὴ δ’ ἐμαυτῆς οὐ κακῶς γνώμης ἔχω· τοὺς δ’ ἐκ πατρός τε καὶ γεραιτέρων λόγους πολλοὺς ἀκούσας’ οὐ μεμούσωμαι κακῶς. ἀντὶ τοῦ πεπαίδευμαι, ἤσκημαι. Λυσιστράτη φησί.

μ 1305 Μουσώνιος, Καπίτωνος, Τυρρηνός, πόλεως Βουλσινίου, διαλεκτικὸς φιλόσοφος καὶ Στωϊκός, γεγονὼς ἐπὶ Νέρωνος, γνώριμος δ’ Ἀπολλωνίου τοῦ Τυανέως καὶ ἄλλων πολλῶν· πρὸς ὃν καὶ ἐπιστολαὶ φέρονται Ἀπολλωνίου κἀκείνου πρὸς Ἀπολλώνιον. διὰ γοῦν τὴν παρρησίαν καὶ τὸ ἐλεγκτικὸν καὶ τὸ ὑπερβάλλον τῆς ἐλευθερίας ὑπὸ Νέρωνος ἀναιρεῖται. φέρονται αὐτοῦ λόγοι διάφοροι φιλοσοφίας ἐχόμενοι, καὶ ἐπιστολαί. περὶ τούτου τοῦ Μουσωνίου λέγει ὁ Παραβάτης ἐν ἐπιστολῇ· τὴν παροινίαν, ἣν εἰς ὑμᾶς ὁ τῆς Ἑλλάδος ἡγεμὼν πεπαρῴνηκεν, οὕτω βαθέως ἤνεγκας, οὐδὲν ἡγούμενος τούτων εἰς σὲ γεγονέναι· τό γε μὴν τῇ πόλει βοηθεῖν ἐκείνῃ βούλεσθαι καὶ προθυμεῖσθαι, περὶ ἣν ἐποιήσω τὰς διατριβάς, φιλοσόφου ψυχῆς ἐστι τεκμήριον, ὥστε μοι δοκεῖ τὸ μὲν πρότερον Σωκράτει προσήκειν, τὸ δεύτερον δέ, οἶμαι, Μουσωνίῳ· ἐκεῖνος μὲν γὰρ ἔφη, ὅτι μὴ θεμιτὸν ἄνδρα σπουδαῖον πρός του τῶν χειρόνων καὶ φαύλων βλαβῆναι· ὁ δὲ ἐπεμέλετο βαρῶν, ὁπηνίκα φεύγειν αὐτὸν ἐπέταττε Νέρων. τουτέστι τειχῶν· βάρεις γὰρ τὰ τείχη.

μ 1306 Μουσώνιος· ἐπὶ Ἰοβιανοῦ ἦν βασιλέως. πάντα ὅσα ἦν ἄριστα, μικρὰ ἐφαίνετο πρὸς τὸν ὄγκον Μουσωνίου καὶ τὴν σὺν τῷ δραστηρίῳ τῆς γνώμης βαθύτητα· δι’ ἃ κατὰ λόγον εὐδοκιμῶν τήν τε ἁλιτενῆ χώραν τῆς Ἀσίας ἐπῆλθε καὶ ὁ τὴν ἀνθύπατον καὶ μείζονα ἔχων ἀρχὴν πρὸς τὰς ἐπιδημίας ἐξίστατο, κἀκεῖνος ἅπαντα ἐπιὼν ἐν ὀλίγαις ἡμέραις τὴν θάλασσαν ἐπλήρωσε τῶν ἀπὸ τῆς Ἀσίας εἰσφορῶν. ἐπεκάλει δὲ οὐδεὶς ἄδικον οὐδὲν τοῖς γινομένοις· ἀλλὰ παιδιά τις ἦν ἅπασι τοῖς καταβάλλουσι τὰ εἰσφερόμενα. Εὐνάπιος γὰρ ὁ ἐκ Φρυγίας ῥήτωρ ἐπεστάτει τοῖς πραττομένοις.

μ 1307 Μοχθεῖ: κακοπαθεῖ. οἱ δὲ Κελτοὶ πολλὰ μοχθήσαντες κατὰ τὴν ὁδὸν διὰ τὴν δυσχωρίαν. λέγεται δὲ καὶ Μοχθίζω.

μ 1308 Μοχθηρία: ἡ τοῦ ἀργυρίου ἐπιθυμία· ἢ ἡ αἴτησις τοῦ ἀργυρίου. Ἀριστοφάνης· ὀνόματι περιπέττουσι τὴν μοχθηρίαν. καί, μοχθηροῦ βοὸς δέρμα. ἀντὶ τοῦ ἰσχνοῦ καὶ λεπτοῦ καὶ κακοῦ καὶ λεπτοβύρσου, ἢ θανασίμου, ἢ ἀσθενοῦς. Ἀριστοφάνης· ὅστις ὑποτεμὼν ἐπώλεις δέρμα μοχθηροῦ βοός.

μ 1309 Μοχθηρία: ἡ κακία. ὡς Λυκοῦργος ἐν τῷ κατὰ Λυκόφρονος· οὐ γὰρ ὅσιον τοὺς γεγραμμένους νόμους, δι’ ὧν ἡ δημοκρατία σῴζεται, παραβαίνοντα, ἑτέρων δὲ μοχθηρῶν ἐξηγητὴν ἐθῶν καὶ νομοθέτην γενόμενον ἀτιμώρητον ἀφεῖναι.

μ 1310 Μοχθηρός· καὶ μόχθηρος προπαροξυτόνως. ἐπίπονος, ἢ πονηρός. παρὰ ῥήτορσιν ὁ κακὸς ὑπείληπται. καὶ Μοχθηρία ἐπὶ τῆς κακίας τέτακται. οὕτως Δείναρχος. Ἀντιφῶν δὲ ὁ παλαιότατος τῶν ῥητόρων τῷ μὲν μοχθηρῷ ἐχρήσατο οὐκ ἐπὶ τοῦ κακοῦ ἀνδρὸς καὶ εἰσαγομένου εἰς δικαστήριον ἵνα κατηγορηθῇ ἀλλ’ ἐπὶ πατρὸς δίκην λαχόντος ὑπὲρ ἀπεσφαγμένου παιδὸς τὸν μοχθηρὸν ἔταξε. καὶ φησὶν οὕτως ἐν προοιμίοις καὶ ἐπιλόγοις· κἀγὼ μὲν ὁ μοχθηρός, ὅντινα ἐχρῆν τεθνηκέναι, ζῶ τοῖς ἐχθροῖς κατάγελως.

μ 1311 Μόχθος: κόπος. Πισίδης· οὐκ εἶχε μόχθον εἰς τὸν Εὐφράτην πόρον.

μ 1312 Μοχλός.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μ 1313 Μωάβ: ὄνομα κύριον. καὶ Μωαβίτης, ὁ ἀπὸ τῆς τοῦ Μωὰβ φυλῆς.

μ 1314 Μωάω.

μ 1315 Μωδεείμ: ὄνομα πόλεως παρὰ Ἰωσήπῳ.

μ 1316 Μωκίζω: ἐμπαίζω.

μ 1317 Μωκία. καὶ Μωκισία κινστέρνα, ἣν ἔκτισεν Ἀναστάσιος ὁ Δίκορος.

μ 1318 Μώκιος: ὄνομα κύριον.

μ 1319 Μῶκος: χλευαστής, μωρός, σκώπτης· καὶ μωκωμένης· χλευαζομένης.

μ 1320 Μωκώμενος: κατατρώγων.

μ 1321 Μωκῶ σε· αἰτιατικῇ.

μ 1322 Μωλόχιον: λαχανηρὸν γένος.

μ 1323 Μῶλος: ἡ μάχη. διὰ τὸ μολύνεσθαι αἵματι· ἢ ἀπὸ τοῦ μολύνεσθαι τῶν ἀποθνησκόντων τὰ σώματα ἐν πολέμῳ· ἢ παρὰ τὸ μόλις ἐκφυγεῖν· ἢ ὅτι μειοῖ, ὅ ἐστιν ἐλαττοῖ, τοὺς ὄχλους· ἢ ὅτι εἰς αὐτὸν εἵλεκται τὰ πλήθη.

μ 1324 Μῶλος: ἡ πολυχρόνιος μάχη· παρὰ τὸ μὴ λύεσθαι· ἢ παρὰ τὸ μολεῖν. δεῖ γὰρ ἐν αὐτῷ σπεύδειν. σημαίνει δὲ καὶ ὄνομα πόλεως.

μ 1325 Μώλωψ: ἔναιμον ἄλγος.

μ 1326 Μῶλυ: ἀντιπάθιον· ἢ βοτάνη ἀλεξιφάρμακος, ἤτοι πήγανον ἄγριον.

μ 1327 Μωμᾷ: ψέγεις, ἀνιχνεύεις. ἀπὸ τοῦ μωμῶ. καὶ Μωμᾶται, ψέγει. καὶ Μωμητά, ψεκτά.

μ 1328 Μῶμαρ: ὁ μῶμος. ἢ Μῶμαρ, ὁ μωρός, καὶ ἡ μάχη.

μ 1329 Μωμαστής.

μ 1330 Μωμεύειν.

μ 1331 Μῶμος: σκώπτης. τὰ δὲ πρὸς ἀρετὴν εὖ ἠσκημένος, ὥστε μηδ’ ἂν τὸν Μῶμον αὐτὸν ἐπιμωμήσασθαι μηδ’ αὖ τὸν φθόνον μισῆσαι. τοσαύτη πραότης ἐνῆν τῷ ἀνδρὶ καὶ τοιαύτη δικαιοσύνη.

μ 1332 Μῶν: ἆρα. σημαίνει σύνδεσμον ἐπιζητητικόν. τὸ γὰρ μῶσθαι ζητεῖν.

μ 1333 Μῶν· Ἀριστοφάνης· μῶν ἐκ καλῶν εἶ κἀγαθῶν; μὰ τοὺς θεούς. καὶ αὖθις· Μῶν ἐστιν· ἆρά ἐστι; μῶν ὑστερόπους βοηθῶ; μὴ ὕστερον τοῦ καιροῦ ἦλθον εἰς τὸ βοηθῆσαι;

μ 1334 Μώνυχα ζῷα: ἵππος, ὄνος, ὀρεύς, καὶ εἴ τι ἄλλο. τούτοις συμβέβηκε μὴ νεῖν καὶ λοφύροις κεκλῆσθαι.

μ 1335 Μῶνυξ: ὁ μονώνυξ. καὶ Μονώνυχες ἵπποι.

μ 1336 Μωπεύειν: μέμφεσθαι.

μ 1337 Μῶρα: ἀνόητα, παράλογα. λόγος τέ τοι τίς ἐστι τῶν γεραιτέρων, ὅς’ ἀνόητ’ ἄχη μῶρα βουλευσόμεθα, ἅπαντ’ ἐπὶ τὸ βέλτιον ἡμῖν ξυμφέρειν. λέγεται ὅτι Ποσειδῶν καὶ Ἀθηνᾶ ἐφιλονείκησαν περὶ τῆς Ἀττικῆς, νικῆσαι δὲ τὴν Ἀθηνᾶν· καὶ ἡττηθέντα τὸν Ποσειδῶνα καὶ λυπηθέντα καταράσασθαι τῇ πόλει καὶ λέγειν αὐτόν, ὅτι γένοιτο τοὺς Ἀθηναίους ἀεὶ κακῶς βουλεύεσθαι· ἀκούσασαν δὲ τὴν Ἀθηνᾶν τῆς καταρᾶς προσθεῖναι, ὅτι κακῶς βουλεύεσθαι, καὶ ἐπιτυγχάνειν.

μ 1338 Μῶρά μοι δοκεῖς φρονεῖν: ἀντὶ τοῦ εὐήθης εἶ, νῦν βουλόμενος μαλάσσειν, ἐξακμάσαντος τοῦ καιροῦ. ὁ Αἴας φησὶ πρὸς Τέκμησσαν. καὶ αὖθις· ἆρ’ οὐχὶ μῶρόν ἐστι τοὐγχείρημά σου, ἄνευ τε πλήθους καὶ φίλων τυραννίδα θηρᾶν, ὃ πλήθει χρήμασίν θ’ ἁλίσκεται; καὶ αὖθις· ὦ μῶρε,

μῶρε, μὴ θεῶν κίνει φρένας δεινάς, ὅπως μή σου γένος πανώλεθρον Διὸς μακέλλῃ πᾶν ἀναστρέψῃ δίκη. ἐπὶ τῶν βλασφήμων εἴρηται.

μ 1339 Μωρία διὰ Χριστόν: ὅταν τοὺς οἰκείους λογισμοὺς λυττῶντας ἀκαίρως καταστέλλωμεν, ὅταν ἔρημον καὶ κενὴν τὴν ἡμετέραν διάνοιαν τῆς ἔξωθεν ποιῶμεν παιδεύσεως, ἵν’ ὅταν δέῃ τὰ τοῦ Χριστοῦ δέχεσθαι, σχολάζουσαν καὶ σεσαρωμένην αὐτὴν πρὸς ὑποδοχὴν τῶν θείων λόγων παρέχωμεν.

μ 1340 Μωροκακοήθη· ἦν δὲ κακοῦργός τε καὶ εὐπαράγωγος, ὃν δὴ μωροκακοήθη καλοῦσι.

μ 1341 Μωρός: ὁ ἄνους.

μ 1342 Μῶρος: παρὰ Ἀττικοῖς προπερισπᾶται. ὦ μῶροι, οὐκ ἴστε τὸν σοφώτατον τῆς τραγῳδίας εἰπόντα, ἡ γλῶττ’ ὀμώμοκεν, ἡ δὲ φρὴν ἀνώμοτος.

μ 1343 Μωρότερος Μωρύχου: Πολέμων λέγεσθαι ταύτην παρὰ Σικελιώταις οὕτως· μωρότερος εἶ Μωρύχου, ὃς τἄνδον ἀφεὶς ἔξω τῆς οἰκίας κάθηται. Μώρυχος δὲ παρ’ αὐτοῖς ὁ Διόνυσος κατ’ ἐπίθετον, διὰ τὸ μολύνεσθαι αὐτοῦ τὸ πρόσωπον ἐν τῇ τρύγῃ γλεύκει τε καὶ σύκοις. μορύξαι δὲ τὸ μολῦναι. Ὅμηρος γοῦν τὸ μεμολυμμένος μεμορυχημένος φησίν. εὐήθειαν δὲ τούτου καταγνωσθῆναι, παρόσον ἔξω τοῦ νεὼ ἐν ὑπαίθρῳ αὐτοῦ τὸ ἄγαλμα καθίδρυται παρὰ τῇ εἰσόδῳ. τάττεται δὲ ἐπὶ τῶν εὐηθές τι διαπραττομένων.

μ 1344 Μωροὶ καὶ ἀβέλτεροι καὶ κεχηνότες Μαμμάκυθος: Μελιτίδης, Βουταλίων, Κόροιβος.

μ 1345 Μωρούς: τοὺς τοῦ κόσμου σοφοὺς καλεῖ μωρούς.

μ 1346 Μῶσθαι· τὸ λανθάνον μῶσθαι, καὶ πολυπραγμονεῖν. ἀντὶ τοῦ ζητεῖν παρὰ Λάκωσι.

μ 1347 Μῶϋ: τὸ ὕδωρ παρ’ Αἰγυπτίοις. ἐξ οὗ καὶ Μωϋσῆς.

μ 1348 Μωϋσῆς: ὁ προφήτης καὶ νομοθέτης. ἐν τῷ π′ τούτου ἔτει ἐξῆλθον οἱ υἱοὶ Ἰσραὴλ ἐξ Αἰγύπτου, ἐν ᾗ παρῴκησαν ἔτη σιε′. πῶς οὖν φησιν ὁ θεὸς πρὸς τὸν Ἀβραάμ, ὅτι πάροικον ἔσται τὸ σπέρμα σου ἔτη υ′. ἀλλὰ δῆλον ὅτι ἀπὸ τῆς ἀναβάσεως Ἀβραὰμ ἐκ Χαρὰν δεῖ τὴν τοῦ λαοῦ παροικίαν ἀριθμεῖν. οὐ γὰρ ἐν Αἰγύπτῳ μόνῃ γέγονεν ἡ παροίκησις, ἀλλὰ καὶ ἐν γῇ Χαναάν. Μωϋσῆς γὰρ λέγει· ἡ δὲ παροίκησις τῶν υἱῶν Ἰσραὴλ ἐν γῇ Χαναὰν καὶ ἐν Αἰγύπτῳ ἔτη υλ′. καὶ τοῦ μὲν Ἀβραὰμ ἀπὸ τῆς ἐκ Χαρὰν ἀναβάσεως μέχρι τῆς Ἰσαὰκ γεννήσεως ἔτη κε′, ἀπὸ δὲ Ἰσαὰκ μέχρι Ἰακὼβ ξ′, ἀπὸ δὲ Ἰακὼβ μέχρι τοῦ Λευῒ πζ′, ἀπὸ Λευὶ μέχρι Καὰθ με′, ἀπὸ Καὰθ μέχρι Ἄβραμ ξγ′· ἀπὸ Μωσέως μέχρι τῆς ἐξόδου π′. καὶ οὕτως ἐξῆλθεν Ἰσραὴλ ἐκ τῆς Αἰγύπτου. τοῦ Μωσέως γεννηθέντος οἱ τεκόντες δεδιότες τοὺς Αἰγυπτίους μηχανῶνται πλέγμα βύβλινον, ἐμφερὲς τῇ κατασκευῇ κίστιδι, μεγέθους ποιήσαντες αὔταρκες εἰς τὸ μετ’ εὐρυχωρίας ἐναποκεῖσθαι βρέφος· ἔπειτα χρίσαντες ἀσφάλτῳ κατὰ τοῦ ποταμοῦ βάλλουσι. Θερμοῦθις δὲ ἡ θυγάτηρ τοῦ βασιλέως τοῦτον ἀνείλετο. τριετεῖ δὲ γενομένῳ θαυμαστὸν ὁ θεὸς τὸ τῆς ἡλικίας ἐξῆρεν ἀνάστημα. ὅτι Μωϋσῆς π′ ἡμέρας ἐνήστευσε, μ′ τὰς προτέρας καὶ μ′ μετὰ τὸ συντρῖψαι τὰς πλάκας σαπφείρῳ λίθῳ δακτύλῳ θεοῦ γραφείσας. ὅτι οὐδεὶς ἦν ἀφιλότιμος οὕτως, ὡς Μωϋσῆν θεασάμενος μὴ ἐκπλαγείη τῆς εὐμορφίας.

μ 1349 Μωσώ, γυνὴ Ἑβραία, ἧς ἐστι σύγγραμμα ὁ παρ’ Ἑβραίοις νόμος· ὥς φησιν Ἀλέξανδρος ὁ Μιλήσιος, ὁ Πολυίστωρ.

μ 1350 Μοῖρα: μερίς, τὸ καθῆκον· καὶ ἡ εἱμαρμένη. Ἰώσηπος· μεγίστη γὰρ ἦν μοῖρα τοῦ πολέμου ληφθεὶς ὁ Ἰώσηπος.

μ 1351 Μοιρηγενές: ἀγαθῇ μοίρᾳ γεγεννημένε.

μ 1352 Μοίριχος: ὄνομα κύριον.

μ 1353 Μοιροδοκῆσαι: ἀντὶ τοῦ μέρους μεταλαβεῖν. Ἀντιφῶν ἐν τῇ πρὸς τὴν Καλλίου ἔνδειξιν ἀπολογίᾳ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μ 1354 Μοιχάγρια: τὰ ἀντὶ τῆς μοιχείας ἀγρεύματα, ἐπὶ τῷ ληφθῆναι μοιχὸν ἀποτινόμενα.

μ 1355 Μοιχάζω. ἀκολάστων γυναικῶν ἐμοίχασε.

μ 1356 Μοιχαλίς: ἡ πόρνη, ἡ μοιχευομένη.

μ 1357 Μοιχεία· μοιχεία καὶ φαρμακεία ταυτόν ἐστιν. καὶ γὰρ ἀμφότερα λάθρα γίνεται. λέγονται δὲ καὶ ἐπιβουλαί· καὶ οὔτε ἡ μοιχευομένη οὔτε ἡ φαρμακεύουσα φιλεῖ τὸν ἄνδρα.

μ 1358 Μοιχίδιον: τὸν ἐκ μοιχοῦ γεγεννημένον. οὐχ ὅτι Ἑκαταῖος, ἀλλὰ καὶ Ὑπερίδης.

μ 1359 Μοιχός: ὁ πόρνος. ἐκ τοῦ μὴ καὶ τοῦ οἴχομαι. ὁ ἐπιτηρῶν μὴ οἴχεται ὁ ἀνὴρ τῆς γυναικός, ἵνα εἰσέλθῃ. Μυχὸς δὲ ὁ σκοτεινὸς τόπος, παρὰ τὸ νύξ, νυκτός, καὶ τροπῇ μυχός.

μ 1360 Μοιχός: εἶδος κουρᾶς κιναιδώδους. Ἀριστοφάνης· Κρατῖνος ἀεὶ κεκαρμένος μοιχὸν μιᾷ μαχαίρᾳ. ἀπρεπὴς κουρὰ καὶ κιναιδώδης. καὶ κῆπος ἄλλο εἶδος, καὶ σκάφη ἕτερον. καὶ παροιμία· Ἕλκει μοιχὸς ἐς μυχόν. ῥηθεῖσα ἡ παροιμία τῷ Καλλίᾳ. ἐπὶ τοῖς μοιχοῖς οἱ νόμοι τοὺς δημίους ὁπλίζουσιν· οἱ δὲ κηπουροὶ τὰς ῥαφανίδας φυτεύουσιν, αἷς εὐθύς, ἐὰν ἁλῷ τις, τιμωρεῖται. καὶ τὸ ῥῆμα Μοιχῶ. καὶ Μοιχώμενος, ἡ μετοχή.

μ 1361 Μυῖα, Θεσπιακή, λυρική. μέλη πρὸς λύραν ἁρμόζοντα.

μ 1362 Μυῖα, Σπαρτιάτις, ποιήτρια. ὕμνους εἰς Ἀπόλλωνα καὶ Ἄρτεμιν.

μ 1363 Μυῖα, Πυθαγόρου τοῦ μεγάλου καὶ Θεανοῦς, Σαμία.

μ 1364 Μυίαγρος: ὁ μυιοθήρας.

μ 1365 Μυίας δάκρυον: διὰ τὴν Θηβαίων παρανομίαν εἰς τὸ ἐν Δωδώνῃ μαντεῖον· ἀφ’ οὗ εἴρηται καὶ τό, παρὰ Βοιωτοῖς μαντεύσαιο. ἠσέβησαν γὰρ καὶ οὗτοι εἰς τὴν ἱέρειαν ἐμβαλόντες αὐτὴν εἰς τὸν ἐν Δωδώνῃ λέβητα, ἐρωτικῶς διατεθεῖσαν εἰς ἕνα τῶν θεωρῶν.

μ 1366 Μυᾶται: σκαρδαμύττεται.

μ 1367 Μυᾶτε: μυᾶν ἐστι τὸ τὰ χείλη πρὸς ἄλληλα συνάγειν. τὸ δὲ αὐτὸ καὶ μύλλειν λέγεται. τινὲς δέ, τοὺς ὀφθαλμοὺς συνάγετε δυσαρεστοῦσαι. ἢ ὥσπερ μύες καταδύεσθε καὶ σκαρδαμύσσεσθε. ἢ μύλλετε ἢ μυκτηρίζετε. Ἀριστοφάνης· τί μοι μυᾶτε κἀνανεύετε; τί χρὼς τέτραπται; τί δάκρυον κατείβεται;

μ 1368 Μυγαλῆ: εἶδος ζῴου.

μ 1369 Μύγης: γέροντος ἀδυναμία.

μ 1370 Μυγδόνιος.

μ 1371 Μύγματα: καταξέσματα.

μ 1372 Μυγμός: ὁ στεναγμός. καὶ ὁ τοῦ μ ἦχος.

μ 1373 Μυδαλέας: διαβρόχους. μυδαλέα δάκρυσι. καὶ Μυδαλέον, δίυγρον παρὰ Ἀρχιλόχῳ, διάβροχον. λέγει δὲ τὸ ἐπίδακρυ καὶ κάθυγρον αἷμα, τὸ ἐννότερον, ῥυπαρόν. καὶ Μυδαλέος ὁμοίως.

μ 1374 Μυδᾶν: νοτιᾶν· δίυγρον εἶναι καὶ σήπεσθαι. δευτέρας συζυγίας τῶν περισπωμένων. σημαίνει δὲ τὸ οἰδαίνειν καὶ φυσᾶσθαι καὶ ὀγκοῦσθαι. οἰδαίνουσι τοίνυν οἱ τάφοι τοῖς νεκροῖς κατὰ τὰ ἔνδον.

μ 1375 Μυδόωσαν: ὄζουσαν.

μ 1376 Μύδωνος καὶ Μυδῶνος: ὀνόματα κύρια.

μ 1377 Μυδῶντες: βρέχοντες, διυγραμμένοι, σαπέντες. καὶ ἐν Ἐπιγράμμασι· ἧς παρὰ Κύπριδι ταῦτα μύροις ἔτι πάντα μυδῶντα κεῖνται, παρθενίων ὑγρὰ λάφυρα πόθων.

μ 1378

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Μύδρος: σίδηρος ἀργός, πεπυρακτωμένος. ἠέλιον πυρόεντα μύδρον ποτὲ φάσκεν ὑπάρχειν, καὶ διὰ τοῦτο θανεῖν μέλλεν Ἀναξαγόρας. οὗτος ὁ φιλόσοφος τὸν ἥλιον μύδρον ἔλεγεν εἶναι διάπυρον καὶ μείζω τῆς Πελοποννήσου.

μ 1379 Μυελόεντα: τροφὴν ἔχοντα.

μ 1380 Μύες.

μ 1381 Μυζεῖ καὶ Μύζει: θηλάζει, λείχει. Ξενοφῶν· ἔδει δέ, εἴ τις διψῴη, λαβόντα εἰς τὸ στόμα μυζεῖν τοὺς καλάμους· καὶ πάνυ ἄκρατος ἦν ὁ οἶνος, μή τις ὕδωρ ἐπιχέοι.

μ 1382 Μυζήσας· ὁ δὲ Δημοσθένης φάρμακον ἔχων ὑπὸ τῇ σφραγῖδι, μυζήσας ἀπέθανε.

μ 1383 Μῦ, μῦ: ἀπὸ τοῦ μῦ παρῆκται τὸ μύζειν, πολλοῖς ἄλλοις ὁμοίως. μύζειν δέ ἐστι τὸ τοῖς μυκτῆρσι ποιὸν ἦχον ἀποτελεῖν. Ἀριστοφάνης· τί μύζεις; πάντα πεποίηται καλῶς.

μ 1384 Μυζῶντες: ἐκπιέζοντες.

μ 1385 Μυηθῆναι: ἐδόκουν οἱ μυούμενοι εἰς τοὺς εὐσεβεῖς τάττεσθαι. καὶ Ἀριστοφάνης· δεῖ γὰρ μυηθῆναί με πρὶν τεθνηκέναι.

μ 1386 Μύησις: μάθησις, κατήχησις, ἐπιστήμη. εἴρηται δὲ παρὰ τὸ μυστήρια καὶ ἀπόρρητα τελεῖσθαι, ἢ διὰ τὸ μύοντας τὰς αἰσθήσεις καὶ ἐπέκεινα σωματικῆς φαντασίας γενομένους τὰς θείας εἰσδέχεσθαι ἐλλάμψεις.

μ 1387 Μυθέαι: λέγεις.

μ 1388 Μυθήσας: εἰπών.

μ 1389 Μῦθος: λόγος ψευδής, εἰκονίζων τὴν ἀλήθειαν. διαφέρει δὲ αἶνος μύθου τῷ τὸν αἶνον μὴ πρὸς παῖδας, ἀλλὰ πρὸς ἄνδρας πεποιῆσθαι, καὶ μὴ πρὸς ψυχαγωγίαν μόνον, ἀλλὰ καὶ παραίνεσιν ἔχειν τινά· βούλεται γὰρ ἐπικρυπτόμενος παραινεῖν τι καὶ διδάσκειν· ὅπερ Ἡσίοδος φαίνεται πεποιηκώς.

μ 1390 Μυκάλη καὶ Μυκαλησός, ὄνομα πόλεως. παρὰ τὸ ἐκεῖ μυκᾶσθαι τὰς Γοργόνας.

μ 1391 Μύκη: ἡ θήκη.

μ 1392 Μυκηθμός: ἡ τῶν βοῶν φωνή.

μ 1393 Μυκήνη: πόλις.

μ 1394 Μυκήσαντος: ἠχήσαντος. Ὅμηρος· αὐτόμαται δὲ πύλαι μύκον οὐρανοῦ, ἃς ἔχον Ὧραι. καὶ ἐν Ἐπιγράμμασι· οὗ βαρὺ μυκήσαντος, ὁ θαρσαλεώτερος ἄλλων τετραπόδων ἐλάφων ἔδραμεν ὀξύτερον.

μ 1395 Μύκητα· καὶ Μύκητες, ἀναστήματά τινα σπογγοειδῆ περὶ τὴν θρυαλλίδα. καὶ οἱ ἀμανῖται. καὶ ἡ λαβὴ τοῦ ξίφους. ἐν Ἐπιγράμμασι· μήποτε λύχνε μύκητα φέροις μηδ’ ὄμβρον ἐγείροις.

μ 1396 Μυκητίας σεισμός: ὁ ἠχοποιός.

μ 1397 Μύκλος: ὁ τράχηλος.

μ 1398 Μυκόνιον: τόπος.

μ 1399 Μυκωμένου: βοῶντος.

μ 1400 Μυκώνιος γείτων: αὕτη τάττεται κατὰ τῶν διαβεβλημένων ἐπὶ γλισχρότητι καὶ σμικροπρεπείᾳ, παρὰ τὴν σμικρότητα τῆς νήσου τῆς Μύκωνος καὶ εὐτέλειαν. καὶ ἑτέρα παροιμία· Μυκωνίων δίκην ἐπεισπέπαικεν εἰς τὰ συμπόσια. διὰ γὰρ τὸ πένεσθαι διεβέβληντο ἐπὶ γλισχρότητι. εἴρηται δὲ ἐπὶ τῶν ἀκλήτως εἰσιόντων εἰς τὰ συμπόσια.

μ 1401 Μυκτηρίζει: ἐξουθενεῖ. χλευάζει.

μ 1402 Μύλακες: μυλώδεις λίθοι. ἡ εὐθεῖα Μύλαξ. μύλην δὲ χρυσῆν εἶχεν ὁ βασιλεύς, ἀφ’ ἧς ἐσιτεῖτο.

μ 1403 Μυλλάς: ἡ πόρνη.

μ 1404 Μύλας λεόντων. ὀδόντας λεόντων.

μ 1405 Μυλασέων.

μ 1406 Μύλαι: οἱ ἔνδον ὀδόντες· οἷς λεπτύνειν εἰώθασιν ἄνθρωποι τὴν τροφήν.

μ 1407 Μυλαῖος: ὁ ἀπὸ τόπου. καὶ ὁ Μολυσμός.

μ 1408 Μύλη: τὸ κάτω τοῦ μύλου· ὁ γὰρ ἄνω ὄνος λέγεται. Προκόπιος· τῶν δὲ ὀχετῶν γῆς Ῥωμαίων διαιρεθέντων, οὐκέτι τὸ ὕδωρ τὰς μύλας ἐνήργει.

μ 1409 Μυλήφατος.

μ 1410 Μυλιόωντες: θρηνοῦντες.

μ 1411 Μυλωθρικόν.

μ 1412 Μυλωθρός: ὁ μύλωνα κεκτημένος, καὶ ἐργαζόμενος.

μ 1413 Μύλωνος: ὄνομα κύριον.

μ 1414 Μύλλος πάντα ἀκούει: ἐπὶ τῶν κωφότητα προσποιουμένων καὶ πάντα ἀκουόντων.

μ 1415 Μύλοι: οἱ ὀδόντες, οὓς γομφίους καλοῦσι.

μ 1416 Μὺ μῦ, μὺ μῦ, μὺ μῦ, μὺ μῦ, μὺ μῦ, μὺ μῦ: τοῦτο ὡς θρηνοῦντές φασιν. ἔστι δὲ ἴαμβος, ἔχων τὸ μὲν πρῶτον υ βραχύ, τὸ δὲ δεύτερον μακρόν.

μ 1417 Μύνη: ἡ πρόφασις.

μ 1418 Μύξα: τὸ περίττωμα τῆς κεφαλῆς. ἔνθεν καὶ Μυξωτήρ, τὸ μέρος τοῦ σώματος. λέγεται μύξα καὶ τὸ τοῦ λύχνου. ἐν Ἐπιγράμμασι· τῷ με Κανωπίτᾳ Καλλίστιον εἴκοσι μύξαις πλούσιον, ἡ Κριτίου, λύχνιον ἔθηκε θεῷ· ἐς δ’ ἐμὰ φέγγη ἀθρήσας, φήσεις, Ἕσπερε, πῶς ἔπεσες;

μ 1419 Μύξος: ὁ λαγώγηρως παρ’ ἡμῖν. ἐπῳδή. ἀλέκτωρ πίνει καὶ οὐκ οὐρεῖ, μύξος οὐ πίνει καὶ οὐρεῖ. λέγεται δὲ εἰς δυσουρίαν ὄνου. καὶ παροιμία· Βαβαὶ μύξος· ἐπὶ τῶν κομπαζόντων καὶ μεγαλαυχούντων· Μύξος γὰρ ἐγένετο τῆς Ἀρτέμιδος ἱερεύς, ἀστεῖός τις καὶ μεγάλαυχος.

μ 1420 Μυοπάρωνος: εἶδος πλοίου.

μ 1421 Μυοῦμαι· αἰτιατικῇ.

μ 1422 Μυούμενος: τελούμενος, μυσταγωγούμενος.

μ 1423 Μυοῦντα: πόλις.

μ 1424 Μυόχοδον: οὐδενὸς ἄξιον. Μένανδρος Ῥαπιζομένῃ· ὁ μυόχοδος γέρων λεληθέναι σφόδρα οἰόμενος.

μ 1425 Μύω: τὸ καμμύω· αἰτιατικῇ.

μ 1426 Μυώνων: τῶν νευρωδῶν τόπων. Προκόπιος· Γότθων δέ τις ἀκοντίῳ βαλών, μυώνων δὲ οἳ ὄπισθέν εἰσι τῶν κνημῶν ἑκατέρων, ἐπιτυχών, ἐρχόμενος τὸν νεκρὸν εἷλκε.

μ 1427 Μυωξία: ὑβριστικὸς λόγος. σημαίνει δὲ τοὺς τῶν μυῶν χηραμούς.

μ 1428 Μυωπάζω: τὸ φυλάττω.

μ 1429 Μυωπιζόμενος: μυωπάζων, παρακαμμύων, ἄκροις τοῖς ὀφθαλμοῖς προσέχων. Μυωπίζω καὶ τὸ τύπτω.

μ 1430 Μύωψ: ὁ οἶστρος. μυῖά τις ἐρεθίζουσα τὰς βοῦς. λέγεται παρὰ Καλλιμάχῳ ἐν Ἑκάλῃ, βοῦς σῶος μύωψ· τοὺς βοῦς σοβῶν καὶ διώκων μύωψ. λέγεται Μύωψ καὶ ἡ μάστιξ τοῦ ἵππου, τὸ σιδήριον, ὃ ἐπὶ τοῦ ποδὸς φοροῦσι κεντοῦντες τοὺς ἵππους. Πολύβιος· ὁ δὲ προσθεὶς τοὺς μύωπας ἐξ ἀμφοτέροιν τοῖν μεροῖν ἤλαυνε κατακράτος. καὶ ἐν Ἐπιγράμμασι· Λυσιδίκη σοι, Κύπρι, τὸν

ἱππαστῆρα μύωπα, χρύσεον εὐκνήμου κέντρον ἔθηκε ποδός. καὶ αὖθις· βουστρόφον ἀκροσίδαρον ἀπειλητῆρα μύωπα. καὶ αὖθις· κέντρα τ’ ἐναιμόεντα διωξίπποιο μύωπος.

μ 1431 Μύρα: τόπος τῆς Λυκίων ἐπαρχίας. καὶ Μυρέων ἀνθρώπων, τῶν ἀπὸ Μύρων τῶν Λυκίων.

μ 1432 Μύραινα: καταφερής. ἀπὸ τοῦ ζῴου. ὦ προδότι καὶ παράγωγε καὶ μύραινα σύ.

μ 1433 Μυρεύς: ὁ τῶν Μύρων, ὡς Πατρεὺς ὁ Πατρῶν· καὶ ἡ δοτικὴ Πατρεῖ καὶ Μυρεῖ.

μ 1434 Μυρία: πολλά, ἀναρίθμητα. Μύρια δὲ ὁ ἀριθμός.

μ 1435 Μυριάμφορον: μυρίων ἀμφορέων ἄξιον. Ἀριστοφάνης· πόθεν ἀναλάβοιμι ῥῆμα μυριάμφορον, ὅτῳ προσείπω ς’; οὐ γὰρ εἶχον οἴκοθεν.

μ 1436 Μυριέλικτος: ὁ πολλαῖς ἑλίξεσι συστρεφόμενος. Εὐνάπιος· ὁ βαρὺς ἐκεῖνος καὶ μυριέλικτος ὄφις (ὁ πολυέλικτος), καθάπερ ὑπὸ τῆς Μηδείας ὑποψιθυριζόμενος καὶ βαρυνόμενος τὴν ψυχὴν, κεκαρωμένος παρέδωκεν ἑαυτόν.

μ 1437 Μυρίκη: εἶδος φυτοῦ. πεδίον ἦν ἀχανές, ἐν ᾧ μυρῖκαί τε ἐπεπήγεσαν.

μ 1438 Μυρρίνη: εἶδος φυτοῦ. καὶ Μυρρινῶν, ἀρχῆς ἐπιθυμῶν. μυρρίναις γὰρ στεφανοῦνται οἱ ἄρχοντες. τὸ δὲ δένδρον Μυρίκη. μυρρίνην λαβόντα, τῶν Αἰσχύλου λέξαι τι. οἱ γὰρ παῖδες ἐν τοῖς συμποσίοις κλῶνα δάφνης ἢ μυρρίνης λαβόντες ᾖδον.

μ 1439 Μυριοπραγότερον καὶ Μυριοπρατότερον.

μ 1440 Μύριοι ἐν Μεγαλοπόλει: Δημοσθένης ἐν τῷ κατ’ Αἰσχίνου. συνέδριόν ἐστι κοινὸν Ἀρκάδων ἁπάντων, οὗ πολλάκις μνημονεύουσιν οἱ ἱστορικοί.

μ 1441 Μύρις: ὄνομα κύριον. καὶ Μυρίτης οἶνος.

μ 1442 Μυρλεανός: ὄνομα πόλεως Βιθυνίας, ἡ νῦν Ἀπάμεια καλουμένη.

μ 1443 Μυρμηκανθρώποις Φερεκράτης γράφει.

μ 1444 Μυρμηκίδην ἀντιπραττόμενον τῇ Φειδίου τέχνῃ.

μ 1445 Μύρμηξ· μυρμήκων ἀτραποὺς ἤ τί διαμινυρίζεται. περὶ Ἀγάθωνός φησι τοῦ ποιητοῦ, ὡς λεπτὰ καὶ ἀγκύλα ἀνακρουομένου μέλη· τοιαῦται γὰρ αἱ τῶν μυρμήκων ὁδοί. ὁ δὲ Ἀγάθων ὑποκριτικὰ μέλη ἐποίει καὶ αὐτὸς ὑποκρίνεται. διὸ καὶ χορικὰ λέγεται.

μ 1446 Μυρμιδόνες: ὄνομα ἔθνους.

μ 1447 Μυροκλῆς: Σαλαμίνιος τὸ γένος, τῶν παρ’ Ἀθηναίων οὐκ ἄπο πολιτευσαμένων.

μ 1448 Μυρομένη: ὀδυρομένη, θρηνοῦσα.

μ 1449 Μύρον διατριπτικόν: παρὰ τὸ διατρίβειν καὶ ἀναβάλλεσθαι. οἷον τὸ διατριβῆς γέμον καὶ βραδυτῆτος· ἢ ἐπεὶ τριβόμενα ἔνια τῶν μύρων ἡδίω γίνεται· ἅμα δὲ καὶ πρὸς τὴν διατριβήν.

μ 1450 Μύρον ἐπὶ κεφαλῆς: τὸ ἀρχιερατικὸν ἔλαιον ἐξ ἡδυσμάτων συνέκειτο. ἀλλ’ οὐδὲν ἐκεῖνο αὐτὸ καθ’ ἑαυτὸ τοσαύτην εὐοσμίαν ἠφίει· ἡ δὲ πάντων μίξις καὶ κρᾶσις πλείστην ὅσην τὴν εὐωδίαν εἰργάζετο. τούτῳ τὴν ἀδελφικὴν εἰκότως συμφωνίαν ἀπείκασεν· ἡ γὰρ τῶν πλειόνων κατορθωμάτων συνεισφορὰ τῆς τελείας ἀρετῆς τὴν εὐκοσμίαν ἐργάζεται.

μ 1451 Μυρόπη: ὄνομα κύριον.

μ 1452 Μυροπώλιον.

μ 1453 Μύρωνος. καὶ Μυρωνίδης, ὁ τοῦ Μύρωνος.

μ 1454 Μυρσίνη: ὄνομα τόπου.

μ 1455 Μυρσινῶνος.

μ 1456 Μύρσωνος.

μ 1457

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Μύρτα: ὁ καρπὸς τῆς μυρρίκης.

μ 1458 Μύρτης· Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος καταλέγων τοὺς προδεδωκότας ἑκάστην πόλιν φησιν, Ἀργείους.

μ 1459 Μύρτης, Τελέδαμος, Μνασέας. Θεόπομπος δὲ Πασαίαν καὶ Ἀμυρταῖον ὀνομάζει τῶν Ἀργείων τοὺς Μακεδονίζοντας. ἰδεῖν οὖν, εἰ γραφικά ἐστιν ἁμαρτήματα.

μ 1460 Μυρτίλος, Ἀθηναῖος, κωμικός, υἱὸς μὲν Λύσιδος, ἀδελφὸς δὲ τοῦ κωμικοῦ Ἑρμίππου. δράματα αὐτοῦ Τιτανόπανες, Ἔρωτες.

μ 1461 Μύρτον: τὸ γυναικεῖον αἰδοῖον. Ἀριστοφάνης· οὐδὲ τῶ μύρτω θιγεῖν ἐῶντι πρὶν ἐξ ἑνὸς λόγου σπονδὰς ποιησόμεθα ποττὰν Ἑλλάδα.

μ 1462 Μύρτον: τὸ σχῆμα τοῦ γυναικείου αἰδοίου, οὗ τὸ μεταξὺ κλειτορίς. ἀφ’ οὗ τὸ ἀκολάστως ἕπεσθαι κλειτορίζεσθαι. τὸ δὲ χεῖλος ὑποδορίς, τὸ δὲ σύμπτωμα μυρτοχείλη.

μ 1463 Μυρτώνιον· Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. φρούριον ἦν ἐν Θρᾴκῃ.

μ 1464 Μυρώ, Βυζαντία, ποιήτρια ἐπῶν καὶ ἐλεγείων καὶ μελῶν, Ὁμήρου τοῦ τραγικοῦ θυγάτηρ, γυνὴ δὲ Ἀνδρομάχου τοῦ ἐπικληθέντος φιλολόγου.

μ 1465 Μυρώ, Ῥοδία, φιλόσοφος. χρείας γυναικῶν βασιλίδων καὶ μύθους.

μ 1466 Μῦς: ὄνομα κύριον πύκτου. σημαίνει δὲ καὶ εἶδος ζωϋφίου.

μ 1467 Μύσαντος: καμμύσαντος. καὶ Ἔμυσας, ἀντὶ τοῦ ἐκάμμυσας. ἀκμαίη πρὸς ἔρωτα καὶ ἡδέα Κύπριδος ἔργα, Πατροφίλα, κανθοὺς τοὺς γλυκεροὺς ἔμυσας.

μ 1468 Μῦς ἄρτι πίττης γευόμενος: ἐπὶ τῶν πρῴην μὲν τολμηρῶν καὶ ἀναιδῶν, ἀθρόον δὲ δειλῶν ἀναφανέντων. λύσις ὀνείρου· Μῦς δ’ αὖ φανεὶς ἔνδολος ἐν τρόποις πέλει.

μ 1469 Μυσάττομαι: ἀποστρέφομαι.

μ 1470 Μυσάχνη: ἡ πόρνη παρὰ Ἀρχιλόχῳ· καὶ ἐργάτις καὶ δῆμος καὶ παχεῖα. Ἱππῶναξ δὲ βορβορόπιν καὶ ἀκάθαρτον ταύτην φησίν, ἀπὸ τοῦ βορβόρου. καὶ ἀνασυρτόπολιν ἀπὸ τοῦ ἀνασύρεσθαι· Ἀνακρέων δὲ πανδοσίαν καὶ λεωφόρον καὶ μανιόκηπον· κῆπος γὰρ τὸ μόριον· Εὔπολις εἱλίποδας ἀπὸ τῆς εἱλήσεως τῶν ποδῶν τῆς κατὰ μίξιν.

μ 1471 Μυσὶ κανθαρίς: ἐπὶ τῶν μηδενὸς ἀξίων.

μ 1472 Μυσίων: Θρᾳκικῶν· μέρη γὰρ τῆς Θρᾴκης πολλὰ περὶ τὴν Μυσίαν. Τεῦκρος πάρεστιν ἄρτι Μυσίων ἀπὸ κρημνῶν. τουτέστι χωρίων.

μ 1473 Μύσκελλος· οὗτος χρησμοῦ δοθέντος, τὴν ὑγείαν τοῦ πλούτου προκρίνει. ὁ δὲ χρησμὸς οὗτος· χώρης καὶ πόλεως οἰκήτορα λαὸν ἔχοντες, ἤλθετ’ ἐρησόμενοι Φοῖβον, τίνα γαῖαν ἵκησθε· ἀλλ’ ἄγε δὴ φράζεσθ’, ἀγαθῶν πότερόν κεν ἕλοισθε, πλοῦτον ἔχειν κτεάνων ἢ τερπνοτάτην ὑγίειαν. καὶ ἀκούσαντες ὁ μὲν Ἀρχίας πλοῦτον αἱρεῖται· πλούσιοι γοῦν οἱ Συρακούσιοι· ὁ δὲ Μύσκελλος ὑγείαν· καί εἰσιν ἐρρωμένοι οἱ Κροτωνιᾶται.

μ 1474 Μύσκελλος: ὄνομα κύριον. καὶ χρησμὸς ἐχρῆν αἰθρίας οὔσης ὕειν αὐτόν. ὅπου ἂν αὐτὸν ἐξ αἰθρίας ὑετὸς λάβῃ. ὁ δὲ ᾤετο οὐκ ἄν ποτε ὑφ’ ἑαυτοῦ κτισθήσεσθαι πόλιν, διὰ τὸ ἀδύνατον τοῦ χρησμοῦ. γενομένῳ δὲ αὐτῷ κατὰ τὴν ’Ιταλίαν καὶ ἀμηχανοῦντι τὴν κτίσιν παρακαθίσασαν τὴν παλλακίδα δακρύειν, ὀδυρομένην τὰς πλάνας, καί πως ἐνεχθῆναι τὰ δάκρυα τῆς αἰθρίας. τοῦτο γὰρ ὠνομάζετο κατὰ τοὺς Μυσκέλλου χρησμούς. τὸν δὲ συμβαλλόμενον τέλος εἰληφέναι τὸν χρησμὸν ἐκεῖσε κτίσαι πόλιν.

μ 1475 Μῦς λευκός: οἱ κατοικίδιοι μύες ἄγαν πρὸς τὴν ὀχείαν κεκίνηνται, καὶ μάλιστα οἱ λευκοί. οὗτοι δέ εἰσι θήλεις. ἐπὶ τῶν ἀκρατῶν περὶ τὰ ἀφροδίσια ἡ παροιμία εἴρηται.

μ 1476 Μύσος: μίασμα.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μ 1477 Μῦς πίσσης γεύεται: ἐπὶ τῶν νεωστὶ ἀπαλλασσόντων μετὰ κόπου. καὶ Ὅσα μῦς ἐν πίσσῃ, ἀπὸ Μυὸς τοῦ Ταραντίνου, κακῶς Ὀλυμπίασιν ἀπαλλάξαντος.

μ 1478 Μυσῶν λεία: παροιμία τίς ἐστι λαβοῦσα τὴν ἀρχὴν ἀπὸ τῶν καταδρομῶν τῶν ἀστυγειτόνων τε καὶ λῃστῶν τῆς Μυσίας, κατὰ τὴν Τηλέφου τοῦ Βασιλέως ἀποδημίαν.

μ 1479 Μυσῶν λεία: ἐπὶ τῶν κακῶς διαρπαζομένων· οἱ γὰρ περίοικοι κατ᾽ ἐκεῖνον τὸν χρόνον τοὺς Μυσοὺς ἐληΐζοντο.

μ 1480 Μύσωνα τὸν Χηνέα.

μ 1481 Μυσταγωγεῖ· αἰτιατικῇ. μυστήρια ἐπιτελεῖ· ὡς μυστήρια ἄγει, ἢ ἐκδιδάσκει.

μ 1482 Μυσταγωγός: ἱερεύς.

μ 1483 Μύστακα: τὸ χεῖλος. Ἰωάννην τὸν Μυστάκωνα παρεστήσατο, καὶ χειροτονεῖ τὸν Λογγίβαρδον. ζήτει ἐν τῷ ἀπόνοια.

μ 1484 Μυστήρ.

μ 1485 Μυστήρια: τελεταί. Μυστήρια ἐκλήθη παρὰ τὸ τοὺς ἀκούοντας μύειν τὸ στόμα καὶ μηδενὶ ταῦτα ἐξηγεῖσθαι. μύειν δέ ἐστι τὸ κλείειν τὸ στόμα.

μ 1486 Μύστης: ὁ τὰ μυστήρια ἐπιστάμενος, ἢ διδάσκων.

μ 1487 Μυστιλᾶται: κατατρώγει. ἰδίως δὲ μυστίλη λέγεται ὁ ἄρτος ὁ τοῖς κυσὶ βαλλόμενος. καὶ Μεμυστιλημένας, ἀντὶ τοῦ κατειργασμένας ἤδη καὶ ἑτοίμους, τουτέστι μεμασημένας.

μ 1488 Μυστίλην: ψωμόν. κοῖλον ἄρτον, ὃν ἐποίουν, ἵνα ζωμὸν ἐν αὐτῷ ῥοφῶσι.

μ 1489 Μυστιπόλος: ὁ περὶ τὰ μυστήρια ἀναστρεφόμενος.

μ 1490 Μυτιληναῖος: ὁ ἀπὸ Μυτιλήνης.

μ 1491 Μύττις, μύττεως, τὰς μύττεις.

μ 1492 Μυττωτόν: ὑπότριμμά τι διὰ σκορόδου. κατασκευάζεται δὲ ἀπὸ τυροῦ καὶ σκορόδου καὶ ᾠοῦ. ἀπὸ τοῦ παντὸς οὖν τοῦ κατασκευάσματος τὸ μέρος ἐδήλωσε, τουτέστι τὰ σκόροδα. οἴμοι τάλας, μυττωτὸν ὅσον ἀπώλεσα.

μ 1493 Μυχαίτατον: ἐσώτατον. καὶ Μυχοίτατον. καὶ Μυχία, ἡ Ἀφροδίτη.

μ 1494 Μυχθίζεις: χλευάζεις, μυκτηρίζεις. ἐν Ἐπιγράμμασι· καὶ σιμὰ σεσηρὼς μυχθίζεις· τάχα που σαρδάνιον γελάσεις.

μ 1495 Μύχιος σήραγξ.

μ 1496 Μυχός: ὁ ἐνδότατος τόπος. ὥς σφιν γένηται γηροβοσκὸς μέχρις εἰσαεὶ μυχοὺς κίχωσι τοῦ κάτω θεοῦ.

μ 1497 Μυχοί: παρὰ Ἡροδότῳ καταδύσεις, τὰ ἔνδον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org